δίδωμι (δίδω) (πλειστάκ. καὶ ἀνα-, ἀντι-, ἀπο-, ἀνταπο-, δια-, ἐκ-, ἐν-, ἐπι-, μετα-, παρα-, προ-, προσ-); παρατ. *ἐδίδουν*, *ους*, *ου*, κτλ. (πλειστάκ. καὶ ἀν-, ἀντ-, ἀπ-, δι-, ἐν-, ἐξ-, ἐπ-, μετ-, παρ-, προ-), μέλλ. *δώσω* (πλειστάκ. καὶ ἀπο-, ἀνταπο-, δια-, ἐκ-, ἐν-, ἐπι-, μετα-, παρα-, προ-, προσ-), ἀόρ. α΄. *ἔδωκα* (μόνον καθ' ἑνικ. καὶ πληθ. τῆς ὁριστικῆς, τὰ δὲ λοιπὰ ἐκ τοῦ ἀορίστου δευτέρου ἀχρήστου ὄντος μόνον κατὰ τὰ τρία ἑνικὰ τῆς ὁριστ.) (πλειστάκ. καὶ ἀπ-, ἀνταπ-, δι-, ἐξ-, ἐπ-, ἐν-, μετ-, παρ-, προ-, συνεξ-), παρακ. *δέδωκα* (πλειστάκ. καὶ ἀπο-, ἐκ-, ἐν-, ἐπι-, μετα-, παρα-, προ-), ὑποτ. *δεδωκὼς ὦ* (σπαν. Δημ. 19, 2), ὑπερσ. *ἐδεδώκειν* (σπαν. Ξεν. Παιδ. Α΄, δ΄, 26. Δημ. 3, 14. 37, 12. καὶ ἀπ- (1), ἐν-, ἐπ-) καὶ *δεδωκὼς ἦν* (Ἰσοκρ. 17, 42. 19, 44. Δημ. 31, 14), εὐκτ. *δεδωκὼς εἴην* (Λυσί. 12, 82. Ἰσο. 17, 11. Δημ. 19, 134. 30, 10) καὶ *ἀποδεδωκὼς εἴην* (Δημ. 48, 19) καὶ *ἐπιδεδωκὼς εἴην* (Πλάτ. Ἐπιστ. 339, β΄.) καὶ ***παραδεδώκοιμι*** (σπαν. Θουκ. Ζ΄, 83), μετ' ὀλ. μέλ. *δεδωκὼς ἔσομαι* (Ἰσο. 15, 125. Δημ. 21, 50. κτλ.). Παθ. *δίδομαι* (πλειστ. καὶ ἀπο-, ἀντι-, ἀνταπο-, δια-, ἐκ-, ἐν-, προ-), παρατ. *ἐδιδόμην* (πολλάκ. καὶ ἐν-), μέλλ. παθ. *δοθήσομαι* (σπαν. Ἰσαῖ. 3, 39. πρβλ. καὶ Σοφ. Φιλ. 774. καὶ ἀπο-, ἐν-, παρα-, προ-), ἀόρ. παθ. *ἐδόθην* (πλειστάκ. καὶ ἀπ-, ἀντ-, δι-, ἐπ-, ἐξ-, παρ-, προ-), παρακ. παθ. *δέδομαι* (πλειστάκ. καὶ ἀπο-, δια-, ἐκ-, προ-), ὑπερσ. παθ. *ἐδεδόμην* (σπαν. Θουκ. Γ΄, 109). Μέσ. εἶναι μόνον τὸ *ἀποδίδομαί τι* (περὶ οὗ ὅρα τὸ *πωλῶ*) καὶ *ἐκδίδομαι θυγατέρα* (2), ὅπερ εἶναι μᾶλλον ποιητικὸν καὶ μεταγενέστερον, παρὰ δὲ τοῖς Ἀττικοῖς πεζολόγοις εἶναι εὔχρηστον τὸ ἐνεργ. *ἐκδίδωμι θυγατέρα*, εὕρηται δὲ παρ' αὐτοῖς ἐκ τοῦ μέσου μόνον τὸ *ἐξέδοτο* (Δημ. 41,26) καὶ *ἐκδόσθαι* (Πλάτ. Νόμ. 740, γ΄., ὅπερ ἴσως γραπτέον «*ἐκδίδοσθαι*»). Τὸ δὲ μέσον αὐτοπαθὲς ἐκφέρεται κατ' ἀνάλυσιν *δίδωμι ἐμαυτὸν* (Λυσί. 6, 32. Ξεν. Παιδ. Ε΄, ά, 28. Ἰσοκρ. 8, 138. κτλ.), ***παραδίδωμι*** *ἐμαυτὸν* (Ἰσοκρ. 13, 16. κτλ.), *ἐνδίδωμι ἐμαυτὸν* (Δημ. 9, 66. κτλ.), ***προδίδωμι*** *ἐμαυτὸν* (Πλάτ. Κρίτ. 45, γ΄. κτλ.). Ῥημ. ἐπιθ. *ἀνάδοτος* (Θουκ. Γ΄, 52), *ἀνέκδοτος* (Λυσί. 13, 45. Δημ. 59, 8), *ἔκδοτος* (Ἰσοκρ. 14, 141. Δημ. 23, 217), ***παραδοτὸς*** (Πλάτ. Μέν. 93, β΄), *δοτέος* (Πλάτ. Χαρμ. 158, γ΄. Ἀντισθέν. 1, 8), *δοτέον* (Ξεν. Ἑλλ. Γ΄, β΄, 18. Ἱππικ. ι΄, 12), *διαδοτέος* (Ἰσο. 12, 233), *ἀποδοτέον* (Πλάτ. Κρατύλ. 394, δ΄. ε΄. Πολ. 452, ά.), *ἀνταποδοτέον* (Πλάτ. Φίληβ. 40, δ΄.), *μεταδοτέον* (Πλάτ. Ἀλκιβ. Α΄. 134, β΄. Λῦσ. 211, δ΄.), ***παραδοτέον*** (Πλάτ. Ἀλκ. Α΄, 132 γ΄.), ***προδοτέον*** (Πλάτ. Θεαιτ. 203, έ.). Ὑπάρχει εὔχρηστος καὶ ἡ περίφρασις, ὡς *ἐπίδοσιν λαμβάνω* (= ἐπιδίδωμι. Ἰσο. 4, 10. 6, 104. 9, 48. 10, 68. Δημ. 9, 47.) καὶ παθ. *ἐπίδοσις γίγνεται* (Ἰσοκρ. 7, 18. 9, 7. Δημοσθ. 21, 161), *ἀντίδοσιν ποιοῦμαι* (=ἀντιδίδωμι. Δημοσθ. 4, 36 Λυσί. 4, 2) καὶ παθ. *ἀντίδοσις γίγνεται* (Ἰσοκρ. 15, 4. κτλ.) καὶ *ἀνταπόδοσις γίγνεται* (Θουκ. Δ΄, 81).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ. Ῥίζ. δ α -, δ ο -, δ ω -, δί-δω-μι = σανσ. da-dâ-mi = λατ. do ἢ dono, δῶρον = λατ. donum, δωτίνη (προὶξ) = λατ. dos dotis, δόσις, δοτήρ (Ξεν. Παιδ. Η΄, α΄, 9), δά-νος. δάνειον, δανείζω, δωσίδικος (Ἡρόδ. ϛ΄, 42, καὶ μτγ). Ὅρα περὶ τοῦ δ ί δ ω μ ι καὶ Κόντ. Λόγ. Ἑρμ. τόμ. Α΄, 332—362. Τὸ δ ό μ α (μτγ.), ἀντ' αὐτοῦ δὲ οἱ Ἀττικοὶ λέγουσι δ ῶ ρ ο ν· ῥημ. σύνθ. ἀπόδοσις, ἀντίδοσις, ἀνταπόδοσις, διάδοσις, ἐπίδοσις, μετάδοσις, παράδοσις, προδότης, πρόδοσις καὶ προδοσία.

(1) Δημοσθ. 48, 19. Τὸ δὲ τοῦ Θουκυδίδου (Ε΄, 35) «*ἀποδεδώκεσαν*» γραπτέον μετ' αὐξήσεως «*ἀπεδεδώκεσαν*».

(2) «*Ἐκδίδωσιν ὁ πατὴρ τὴν θυγατέρα*, ὅταν σημαίνηται μόνον ἡ ἐνέργεια ὡς πρὸς τὸν λαμβάνοντα νυμφίον· *ἐκδίδοσθαι* δέ, ὅταν συνεκφέρηται καὶ ἡ ἰσχύρισις καὶ ἡ δαπάνη τοῦ πατρὸς εἰς προίκισιν. *ἤν τις ἐκδοῦναι βούληται θυγατέρα, πρὸς τίνα δεῖ λέγειν;* (Ξεν. Παιδ. Η΄, δ΄, 18)... *ἐξέδου κόρην ὅτῳ σε θυμὸς ἦγε* (Εὐρ. Μήδ. 309)» (Ἀσωπ. Περίοδ. Β΄. σ. 299, § 32).

διευκρινῶ· ὅρα *εὐκρινῶ*.

διημερεύω· ὅρα *ἡμερεύω*.

διισχυρίζομαι· ὅρα *ἰσχυρίζομαι*.

δικάζω (πλειστ. καὶ ἐκ-, δια-, κατα-, συν-), παρατ. *ἐδίκαζον* (ἐνίοτε), μέλλ. *δικάσω* (πλειστ.), ἀόρ. *ἐδίκασα* (πλειστ. καὶ δι-, ἀπ-, ἐξ-, κατ-, ἐπ-), παρακείμ. καὶ ὑπερσ. ἐλείπουσιν. Μέσ. καὶ παθ. *δικάζομαι* (πλειστ. καὶ ἐπι-, δια-, προς-), παρατ. μέσ. καὶ παθ. *ἐδικαζόμην* (πλειστάκ. καὶ ἐπ-), μέλλ. μέσ. *δικάσομαι* (σπαν. Δημ. 37, 37. 38, 16. καὶ δια- (ἐνίοτε), ἐπι- σπαν. Ἀνδοκ. 1, 120), ἀόρ. μέσ. *ἐδικασάμην* (πλειστ. καὶ κατ-, ἐπ-, δι- καὶ ἐκ- (Ἰσαῖ. παρ. Ἁρποκρ. ἐν. λ.), ἀόρ. παθ. *ἐδικάσθην* (ἐνίοτε· ἀπ- [Ἀττ. Ἐπιγραφ.] καὶ ἐξ-, κατ-, ἐπ-), παρακ. μέσ. καὶ παθ. *δεδίκασμαι* (πολλάκ. καὶ ἐπι-, κατα-), ὑπερσ. μέσ. *ἐδεδικάσμην* (σπαν. Δημ. 33, 27), ῥημ. ἐπίθ. *ἀδίκαστος* (Πλάτ. Τίμ. 51, γ΄.).

ΣΗΜ. Ῥίζ. δ ι κ -, δίκη ἀρχικῶς=τρόπος («α ὕ τ η τ ο ι δ ί κ η ἐ σ τ ὶ θ ε ῶ ν» Ὀδ. Τ, 43. Πρβλ. καὶ Ὀδ. Δ, 691. Λ, 217. Ω, 254), δικάζω, σανσκρ. dic-ami (δείκνυμι), λατ. dic-o (λέγω), δικαστής = λατ. judex, judico (=δικάζω). Τὸ ῥῆμα κατὰ πρῶτον

παρ' Ὁμήρῳ, ὁ δὲ παρακ. μεταγεν. δεδίκακα (Ἡρακλείδ. παρ' Ἀθην. ΙΒ', § 13), μέλ. δικασθήσομαι (Διον. Ἀλ. Ῥωμ. Ἀργ. 5, 61).

δικαιολογοῦμαι. Ἀποθ. Ἀπαντᾷ μόνον κατ' ἐνεστῶτα (σπανίως Ὑπερείδ. ὑπὲρ Εὐξενίπ. λϐ'. 11. Λυσί. παρ' Ἀθην. Ε'. σ. 209, ϛ'. Αἰσχίν. 2, 21), τὰ δὲ λοιπὰ μεταγενέστερα [παρατ., μέλ. μέσ. καὶ ἀόρ].

ΣΗΜ. Παρὰ Λουκιανῷ καὶ ἐνεργ. δικαιολογοῦντες (Τίμ. 11, σ. 120)=δικηγόροι, συνήγοροι. Τὸ δικαιολογοῦμαι κατὰ πρῶτον παρὰ Λυσίᾳ.

δικαιόω-ῶ (δίκαιον θεωρῶ καὶ κολάζω) (ἐνίοτε· Θουκ. Α', 140. Δ', 64. Ε', 105. Ϛ', 89. Πλάτ. Νόμ. 715, α'. καὶ (δια-) Θουκ. Δ', 106), παρατ. *ἐδικαίουν* (σπανιώτ. Θουκ. Δ', 122), μέλλ. *δικαιώσω* (σπαν. Θουκ. Ε', 26), *ἀόρ. ἐδικαίωσα* (σπαν. Θουκ. Ζ'.68). Παθ. *δικαιοῦμαι* (σπαν. Πλάτ. Νόμ. σ. 934, ϐ'.) καὶ μέλλ. μέσ. σπαν. *δικαιώσομαι* (Θουκ.Γ', 40., ὃ γράφεται καὶ «*δικαιώσετε*»), τὰ δὲ λοιπὰ μεταγενέστερα.

ΣΗΜ. Τὸ ῥῆμα πρῶτον παρὰ Πινδάρῳ (Ἀποσπ. 151), δικαίωσις, -ωμα, -τήριον.

διλογῶ (λέγω δὶς περὶ τῶν αὐτῶν). Ἀπαντᾷ μόνον τὸ ἀπαρέμφ. *διλογεῖν* (σπαν. Ξενοφ. Ἱππικ. η', 2).

ΣΗΜ. Διλογῶ, διλογία, δίλογος (μτγ.). Τὸ διλογῶ κατὰ πρῶτον παρὰ Ξενοφῶντι.

δινέω-ῶ (περιστρέφομαι). Ἀπαντᾷ μόνον τὸ *περιδινέω-ῶ* (σπαν. Αἰσχίν. 3, 167), τὸ δὲ ἁπλοῦν εἶναι ποιητικόν. Μέσ. *δινοῦμαι* (σπαν. Ξενοφ. Συμπ. ϐ', 8. Πλάτ. Εὐθύδ. 294, ε'), παθητ. *περιδινοῦμαι* (σπαν. Ξενοφ. Συμπ. ζ', 3), μέσ. παρατ. *ἐδινούμην* (σπαν. Ξενοφ. Ἀνάϐ. Ϛ', α', 9). Τὰ λοιπὰ εἶναι ποιητικά.

ΣΗΜ. Ῥίζ. ὅρα [δειδω], δῖνη, δινέω, δίνημα (μτγ.), δίνησις (μτγ.), δινητός (μτγ.). Τὸ δινῶ κατὰ πρῶτον παρ' Ὁμήρῳ.

διοικέω-ῶ (πλειστ. καὶ συν-), παρατ. *διῴκουν* (πλειστ. καὶ συν-), μέλ. *διοικήσω* (πλειστ.), ἀόρ. *διῴκησα* (πλειστ.), παρακ *διῴκηκα* (πλειστ.), ὑπερσ. ἐλλείπει. Μέσ. καὶ παθ. *διοικοῦμαι* (πλειστ.), παρατ. μέσ. καὶ παθ. *διῳκούμην* (ἐνίοτε), μέλλ. μέσ. *διοικήσομαι* (σπαν. Δημ. 8, 13), μέλ. παθ. *διοικηθήσομαι* (σπαν. Λυσί. 30, 35), ἀόρ. μέσ. *διῳκησάμην* (ἐνίοτε· καὶ προ-), ἀόρ. παθ. *διῳκήθην* (σπαν. ψήφισμ. παρὰ Δημοσθ. 24, 27), παρακ. μέσ. καὶ παθ. *διῴκημαι* (ἐνίοτε), ὑπερ. παθ. *προδιῳκήμην* (σπαν. Δημ. 23, 14), ῥημ. ἐπίθετ. *ἀδιοίκητος* (Δημ. 24, 28).

ΣΗΜ. Ὅρα οἰκῶ, ῥημ. παράγ. διοίκησις, διοικητής (μτγ.), διοικητικός (μτγ). Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Θουκυδίδῃ.

διοπτεύω (ἀκριϐῶς παρατηρῶ). Ἀπαντᾷ μόνον ὁ ἐνεστὼς (Ξενοφ. Παιδ. Η', ϐ', 10. Ἀντιφῶν παρὰ Πολυδεύκ. Β', 58. Δημοσθ. 35, 20. 34 [ἔνθα ὅμως γράφεται «*διοπεύων*» πρϐλ. καὶ Ἁρποκρατ. ἐν λ.]).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ.

διορθῶ (σπαν. Αἰσχίν. 3, 38), παρατ. ἐλλείπει, μέλ. *διορθώσω* (σπαν. Ἰσοκρ. Ἐπιστολ. Α', 3), ἀόρ. *διώρθωσα* (σπαν. Ἰσοκρ. 9, 47. 12, 262), παρακ. καὶ ὑπερσυντ. ἐλλείπουσιν. Μέσ. *διορθοῦμαι* (σπαν. Ἰσο. 3, 31. Δημ. 9, 6. Δημάδ. 7. καὶ (προς-) Αἰσχίν. 2, 87), παρατ. μέσ. *διωρθούμην* (σπαν. Αἰσχίν. 2, 112), μέλλ. μέσ. *διορθώσομαι* (σπαν. Ἰσο. 4, 181. Δημ. 39, 1), ἀόρ. μέσ. *διωρθωσάμην* (σπαν. Δημ. 10, 45. 33, 11. Ἐπιστολ. Α', 3), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Ῥημ. ἐπίθ. *ἀδιόρθωτος* (Δημ. 4, 36).

ΣΗΜ. Ὅρα ὀρθόω-ῶ. Τὸ διορθῶ κατὰ πρῶτον παρὰ Πινδάρῳ. Ἐπειδὴ τὸ ὀρθοῦν ἀνιστάναι σημαίνει καὶ διευθύνειν, ἐπὶ μὲν τοῦ πρώτου τὸ ἀνορθοῦν λέγεται, ἐπὶ δὲ δευτέρου τὸ διορθοῦν· τὸ δὲ ἐπανορθοῦν κοινὸν ἑκατέροις τιθέμενον ἐπὶ τῶν ἐπανερχομένων εἰς τὴν προτέραν αὐτῶν κατάστασιν. Ἐν ἅπασι δὲ ἡ σημασία ἔνεστι τῆς ἐπὶ τὰ κρείττω μεταϐολῆς, διὸ καὶ ἡ χρῆσις αὐτῶν πολλάκις συγκέχυται. Τὸ δὲ κατορθοῦν λέγεται ἐφ' οἱασδήποτε ἐκϐάσεως (Λοϐέκκ. εἰς Φρυνιχ. 250. Βασιάδ. Δημ. Ὀλυνθ. Α', σ. 239—240).

διορίζω· ὅρα *ὁρίζω*.

διοχλῶ· ὅρα *ἐνοχλῶ*.

διπλάζω (=διπλασιάζω). Ποιητικόν, πεζογραφικὸν δὲ εἶναι μόνον ἐν τῷ ἀορ. *ἐδίπλασα* (σπαν. Ἀνδοκίδ. 4, 11).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Σοφοκλεῖ (Αἴ. 268). Πρϐλ. Βεκκ. Ἀνέκδ. 89, 6.

διπλασιάζω. Ἀπαντᾷ μόνον κατ' ἐνεστῶτα σπανίως (Πλάτ. Νόμ. 920, α'.), ἀόρ. *ἐδιπλασίασα* (σπαν. Λυσί. 32, 25). Παθ. *διπλασιάζομαι* (σπαν. Δημ. 24, 82) καὶ ἀόρ. *ἐδιπλασιάσθην* (σπαν. Ξενοφ. Ἀγησ. Ε', 1),

ΣΗΜ. Περὶ τῆς ῥίζ. ὅρα Ἡμετ. Γραμμ. Παρατηρ. σελ. 381. Τὸ διπλασιάζω κατὰ πρῶτον παρὰ Λυσίᾳ.

διπλόω-ῶ. Ἀπαντᾷ μόνον ὁ ἀόρ. *ἐδίπλωσα* (C. I. A. T. B'. Παράρτ. 808. 809. 811), ἡ μετοχὴ τοῦ παθ. ἐνεστ. *ἀναδιπλουμένη φάλαγξ* (σπαν. Ξενοφ. Παιδ. Ζ', ε', 5), ὁ παρακ. *δεδιπλωμένος* (C. I. A. T. B'. Παραρτ. 809.) καὶ ὁ ὑπερσ. *ἐδεδίπλωτο ἡ φάλαγξ* (σπαν. Ξενοφ. Ἑλλ. Ϛ', ε', 19).

ΣΗΜ. Περὶ τῆς ῥίζ. ὅρα Ἡμετ. Γραμμ. Παρατ. σ. 380—381. Τὸ διπλόω-ῶ κατὰ πρῶτον παρὰ Ξενοφῶντι, ῥημ. παρ δίπλωμα (μτγ.), δίπλωσις (μτγ.).

διστάζω (ἔχω δισταγμόν, ἀμφιϐάλλω). Μόνον ὁ ἐνεστὼς ἀπαντᾷ ἐνίοτε (Πλάτ. Θεαίτ. 187, δ'. 190, α'. Σοφ. 235, α'. Ἴων 534, ε'. Νόμ. 897, ϐ'. Ἐπιστ. 328, ϐ).

ΣΗΜ. Ἀόρ. ἐδίστασα (Συνεσ. Ἐπιγρ. 44), διστα ζόμενος (Διόδωρ. ιζ', 9). Ὅρα ἐνδοιάζω περὶ τῆς ῥίζης. Τὸ διστάζω κατὰ πρῶτον παρὰ Πλάτωνι.

διυλίζω (στραγγίζω). Παρὰ τοῖς Ἀττικοῖς πεζολόγοις εὕρηται μόνον τὸ *διυλισμένος* (σπαν. Πλάτ. Τίμ. 69, α'.), τὰ δὲ λοιπὰ εἶναι μεταγενέστερα.

ΣΗΜ. Σύνθετον δι-ϋλίζω, τοῦτο δὲ παρὰ τὸ ὕλη = λατ. sylva καὶ silva = σύλϜα, ὧν λείψανον εἶναι ἡ Σκαπτὴ σύλη τῆς Θρᾴκης, καὶ ἡ Ὕϐλα τῆς Σικελίας. Τὸ ῥῆμα

κατὰ πρῶτον παρὰ Πλάτωνι, ῥημ. παρ. διύλισις (μτγ.), διύλισμα (μτγ.), διυλισμός (μτγ.), διυλιστήριον (μτγ.).

διχάζω (διαιρῶ εἰς δύο). Μόνον ὁ ἐνεστὼς σπανίως (Πλάτ. Πολιτικ. σ. 264, δ'.), τὰ δὲ λοιπὰ μεταγενέστερα.

ΣΗΜ. 'Ρίζ. σαν. dvi-, δι-, δί-χα, διχῇ, διχάω (ποιητ.), διχάζω, δι-χθά, διχοστασία = γοτθ. tvis-stass, δι-σσὸς = σανσ. tvi-tijas, δὶς = δF-ίς. Τὸ διχάζω κατὰ πρῶτον παρὰ Πλάτωνι, ῥημ. παράγ. διχασμός (μτγ.), δίχασις (μτγ.), διχαστής (μτγ.).

διχογνωμονῶ (στασιάζω). Μόνον ἡ μετοχὴ σπανίως *διχογνωμονῶν* (Ξενοφ. 'Απομν. Β', Ϛ', 21).

ΣΗΜ. Ὅρα Πολυδ. Β', 229 καὶ διχάζω. Τὸ διχογνωμονῶ κατὰ πρῶτον παρὰ Ξενοφῶντι.

διχοτομῶ (τέμνω εἰς δύο). Μόνον ἡ ὁριστικὴ *διχοτομεῖ* (Πλάτ. Πολιτικ. 302, ε'.) σπανιώτατα.

ΣΗΜ. Ὅρα διχάζω. Τὸ διχοτομῶ κατὰ πρῶτον παρὰ Πλάτωνι, ῥημ. παράγ. διχοτόμημα (μτγ.), διχοτόμησις (μτγ.).

διψῶ, ῇς. ῇ κτλ. (πλειστάκις), παρατ. μόνον ἡ εὐκτ. σπανίως *διψῴη* (Ξενοφ. 'Αναϐ. Δ', ε', 27), μέλλ. *διψήσω* (σπανιώτ. Ξενοφ. 'Απομ. Β', α', 17), ἀόρ. *ἐδίψησα* (σταν. Ξενοφ. Παιδ. Ζ', ε', 81. Πλάτ. Πολιτ. 562, γ'.). Τὰ λοιπὰ ἐλλείπουσιν ὄντα μεταγενέστερα [*δεδίψηκα* Πλούτ. Πομπ. 73].

ΣΗΜ. 'Ρίζ. διπ-, ἐξ οὗ δίψα (= δίπ-τjα, πρϐλ. δόξα = δόκ-τjα, μύξα = μύκ-τjα), διψῶ (= διψή-ω), ὅπερ κατὰ πρῶτον παρ' 'Ομήρῳ. Κατ' ἄλλους δὲ εἶναι συγγενὲς τῷ διφάω = δίζημαι (= ζητῶ, ἐρευνῶ). Κατὰ δὲ τὸν Μ. 'Ετυμολ. (279, 55) παρὰ τὸ ἴπτω (= βλάπτω) ἴψα καὶ δίψα (ἡ βλάπτουσα τὸ σῶμα) = λατ. sitis. Τὸ διψῶ ἔγινεν ἐκ τοῦ [διψήω], διψῇς [= διψή-εις), διψῇ [= διψή-ει] κτλ.

[**διωκάθω**]. Παρασχηματισμὸς τοῦ διώκω, ὅςτις εἶναι ἀόρ. ϐ'. καὶ παρὰ τοῖς 'Αττικοῖς πεζολόγοις εὕρηται μόνον ἡ ὁρ. *ἐδιώκαθον* (Πλάτ. Γοργ. 483, α'.) καὶ τὸ ἀπαρέμφ. *διωκαθεῖν* (Πλάτ. Εὐθύφρ. 15, δ'. Πολ. 375, α'., ὅπερ πλημμελῶς τονίζεται «*διωκάθειν*), τὰ δ' ἄλλα εἶναι ποιητικά.

ΣΗΜ. Οἱ τύποι οὗτοι εἶναι ἀόρ. β' ἐδιώκαθον (καὶ τοιαύτην σημ. ἔχει· πρϐλ. καὶ 'Αριστοφ. Σφ. 1203), ὑποτ. διωκάθω ('Αριστοφ. Νεφ. 1482) καὶ ἀπαρ. διωκαθεῖν (ὅπερ παρὰ Πλάτωνι κακῶς γράφεται «διωκάθειν»). Ὅρα Cobet παρὰ Λόγ. 'Ερμ. Κόντ. σ. 205. Nov. Lection. 495). Ὁ παρασχηματισμὸς οὗτος κατὰ πρῶτον παρ' 'Αριστοφάνει.

διώκω (πλειστ. καὶ κατα-, ἐπι-, προ-, μετα-, συν-), παρατ. *ἐδίωκον* (πλειστάκ. καὶ ἐπ-, ἐξ-, κατ-, μετ-), μέλλ. μέσ. ὡς ἐνεργ. *διώξομαι* (ἐνίοτε) καὶ σπανιώτερον *διώξω* (ἐνίοτε), ἀόρ. *ἐδίωξα* (πλειστ. καὶ ἐπ-, ἐξ-, κατ-, ἀπ-), παρακ. *δεδίωχα* (ἅπαξ. 'Υπερείδ. Λυκόφρ. ΙΓ', 15). ὑπερσ. ἐλλείπει. Παθ. *διώκομαι* (πλειστ. καὶ κατα-, μετα-), παρατ. *ἐδιωκόμην* (σπαν. 'Αντιφῶν 2, ϐ', 13) καὶ *ἐπεδιωκόμην* (σπαν. Θουκ. Ζ', 13), ἀόρ. *ἐδιώχθην* (σπαν. ἁπλοῦς. 'Αντιφῶν 2, α', 3 6. καὶ κατ-, ἐπ-, συγκατ-, ἐξ- ('Υπερείδ. παρὰ Πολυδ. Η', 70), τὰ ἄλλα δ' ἐλλείπουσιν. Ὡς παθ. ὅμως τοῦ

διώκω εἶναι καὶ τὸ *φεύγω ὑπό τινος*. 'Ρημ. ἐπίθ. *διωκτέος* (Πλάτ. Πολ. 400, ε'.), *διωκτέον* (πολλ.) *καὶ μεταδιωκτέον* (Πλάτ. Τίμ. 64, ϐ'.). Περὶ τοῦ ἀορ. ϐ' *ἐδιώκαθον* ὅρα *διωκάθω*. 'Αντὶ δὲ τοῦ *διώκω καὶ τὴν δίωξιν ποιοῦμαι* (Θουκ. Γ', 32. Η', 102).

ΣΗΜ. 'Ρίζ. διᾱκ-, (διᾱ'κονος, διάκ-τωρ), διωκ-, διώκω, διωκὴ καὶ ἰωκὴ (τὸ δ πρὸ τοῦ j ἀποϐάλλεται), δίωξις καὶ ἴωξις (παλίωξις, προΐωξις). Ὅρα διακονῶ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' 'Ομήρῳ, μτγ. μέλλ. διωχθήσομαι (Διόδωρ. ιθ', 95), παρακ. παθ. δεδιωγμένος (Κ. Δ.).

δοκέω-ῶ (φαίνεταί μοι) προςωπικὸν καὶ ἀπρόςωπον (πλειστ. καὶ συν-), παρατ. *ἐδόκουν* (πλειστ.), μέλλ. *δόξω* (πλειστ. καὶ συν-), ἀόρ. *ἔδοξα* (πλειστ. καὶ ἀπ-, συν-, μετ-, προς-). Παθ. *δοκοῦμαι* (σπαν. Πλατ. Πολ. 490, α'. 612, δ'.) καὶ *καταδοκοῦμαι* (= ὑποπτεύομαι· σπαν. 'Αντιφῶν 2, ϐ', 3. γ', 7), ἀόρ. παθ. *καταδοχθεὶς* (σπαν. 'Αντιφῶν 2, ϐ', 2), παρακ. *δέδοκται* (πλειστ.) καὶ *δεδογμένον ἐστὶ* (σπαν. 'Ισο. 14, 45. Πλάτ. 'Απολ. 34, ε'.), ὑποτ. *δεδογμένον ᾖ* (σπαν. Δημ. 19, 186), προςτ. *δεδόχθω* (σπαν. Πλάτ. Νόμ. 799, ε'.), ἀπαρ. *δεδόχθαι* (ἐνίοτε), μετοχ. *δεδογμένος* (πλειστάκ. καὶ προ-, συν-), ὑπερσ. *ἐδέδοκτο* (ἐνίοτε) καὶ *δεδογμένον ἦν* (σπαν 'Ισοκρ. 12, 163), εὐκ. *δεδογμένον εἴη* (σπαν. Ξενοφ. Παιδ. Ϛ'. ϐ', 9). 'Ρημ. ἐπίθ. *ἀδόκητος* (ἐνίοτε).

ΣΗΜ. Ὁ ἀόρ. προςέδοξεν (Δημ. 22, 75. 24, 183) γράφεται καὶ «πρὸς ἔδοξεν». 'Ρίζ. δακ-, δεκ-, δοκ-, σανσ. dac-as (δόξα), λατ. dec-et (πρέπει), dec-us,-oris (κόσμος, τὸ καλόν), dig-nus (ἄξιος), δοκ-έω, δόξ-α (= δόκ-τjα), ἀδόκητος, ἄ-δοξος, ἀδοξῶ. Τὸ δοκῶ κατὰ πρῶτον παρ' 'Ομήρῳ. Τί διαφέρει τοῦ φαίνεται ὅρα φαίνω.

δοκιμάζω (ἐξετάζω, βασανίζω, ἐγκρίνω) (πλειστάκ. καὶ ἀπο-, συναπο-, δια-), παρατ. *ἐδοκίμαζον* (ἐνίοτε. καὶ ἀπ-), μέλλ. ***ἀποδοκιμάσω*** (σπαν. Ξενοφ. 'Ιππαρχ. α', 13) καὶ *συνδοκιμάσω* (σπαν. 'Ισοκρ. 2, 28), ἀόρ. *ἐδοκίμασα* (πλειστ. καὶ ἀπ-, συν-,) παρακ. *ἀποδεδοκίμακα* (σπαν. Πλάτ. Θεαίτ. 181, ϐ'. Ξενοφ. Παιδ. Ϛ'. ϐ', 16), ὑπερσ. ἐλλείπει. Παθ. *δοκιμάζομαι* (πολλάκ.), παρατ. *ἐδοκιμαζόμην* (σπαν. Λυσί. 26, 10), μέλλ. *δοκιμασθήσομαι* (σπαν. Λυσί. 31, 1. Δημ. 40, 34 καὶ (ἀπο-) Ξεν. 'Ιππαρχ. α'. 14. 15), ἀόρ. παθ. *ἐδοκιμάσθην* (πλειστ. καὶ ἀπ-), ἀόρ. μέσ. σπανίως *δοκιμασώμεθά* (τι. Ξενοφ. Οἰκ. η', 10), παρακ. παθ. *δεδοκίμασμαι* (πολλάκ. καὶ ἀπο-), ὑπερσ. ἐλλείπει. 'Ρημ. ἐπ. *ἀδοκίμαστος* (πολλάκ.), *δοκιμαστέον* (Λυσ. 31, 25) καὶ *ἀποδοκιμαστέον* (Ξεν. 'Ιππικ. γ', 8).

ΣΗΜ. Παρὰ τὸ δόκιμος (δόκ-ιμος), δοκιμάζω (ἐξετάζω, βασανίζω καὶ ἐγκρίνω, ἀποδέχομαι), δοκιμασία, δοκιμαστής, δοκιμαστός (μτγ.), δοκιμαστικός (μτγ.) Τὸ δοκιμάζω κατὰ πρῶτον παρὰ Θουκυδίδῃ, τὸ δὲ ἀποδοκιμάζω κατὰ πρῶτον παρ' 'Ηροδότῳ (Ϛ', 130), παρ' ᾧ εὕρηται καὶ ἕτερος τύπος ἀποδοκιμᾷ (Α', 199), ὅστις ὑπό τινων νομίζεται ἐνεστώς, ὑπ' ἄλλων δὲ μέλλων.

δολιχοδρομέω-ῶ (= δόλιχον θεῖν. Ξενοφ. 'Ανάϐ. Δ', η', 27). 'Απαντᾷ μόνον ἡ μετοχὴ τοῦ ἀορίστου

δολιχοδρομήσας (σπαν. Αἰσχίν. 3, 91. Πρβλ. καὶ Πολυδεύκ. Γ', 146), ἀντ' αὐτοῦ δὲ οἱ 'Αττικοὶ ἔλεγον «*δόλιχον θεῖν*» (Ξενοφ. 'Ανάβ. Δ', η',27).

ΣΗΜ. Παρὰ τὸ δολιχοδρόμος (Ξενοφ. Συμπ. β', 17), δόλιχος δὲ ἢ δολιχὸς (κατὰ Πολυδ. Γ', 146) ἦν μακρὸς δρόμος ἐν τῷ σταδίῳ, δολιχὸς ἐπίθ. ποιητ. (μακρός), δολιχόσκιος (ποιητ.), δολιχοδρομῶ (κατὰ πρῶτον παρ' Αἰσχίνῃ), ἐν-δελεχ-ής (διαρκής), ἐν-δελέχ-εια (διάρκεια), ἐνδελεχῶ (διαρκῶ), Δουλίχιον (τόπος ἐπιμήκης), σλαβ. dlŭg-ŭ (μακρός), σανσ. dirgha, ζενδ. daregha. «Τὰ δὲ τῶν γυμνικῶν <ὀνόματα> δολιχός, δολιχοδρόμος καὶ ὁ τὸν δολιχὸν τρέχων... Αἰσχίνης δ' ὁ ῥήτωρ εἴρηκε τὸν δολιχοδρομήσαντα» (Πολύδ. Γ', 146).

δολοφονῶ (δι' ἀπάτης φονεύω). Παρὰ τοῖς 'Αττικοῖς πεζολόγοις ὑπάρχει μόνον ὁ ἀόρ. παθ. *ἐδολοφονήθην* (σπαν. Δημ. 19, 194), τὰ δὲ λοιπὰ εἶναι μεταγενέστερα.

ΣΗΜ. Δολοφόνος (ποιητ.), δολοφονία (μτγ.), δολοφονῶ, δολοφόνησις (μτγ.), τὸ δὲ δολοφονῶ κατὰ πρῶτον παρὰ Δημοσθένει.

δολόω-ῶ (ἀπατῶ). Μόνον τὸ ἀπαρέμφ. *δολοῦν* (σπαν. Ξενοφ. Παιδ. Α', Ϛ', 28), τὰ δὲ λοιπὰ ποιητικὰ καὶ μεταγενέστερα.

ΣΗΜ. Παρὰ τὸ δόλος (ὅρα δελεάζω), δολῶ, δόλωσις ('Αττ.). Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ἡσιόδῳ (Θεογ. 494).

δοξάζω (φρονῶ, στοχάζομαι, δοξάζω) (πλειστ. καὶ δια-, ἀντι-, μετα-), παρατ. *ἐδόξαζον* (ἐνίοτε), μέλλ. *δοξάσω* (ἐνίοτε), ἀόρ. *ἐδόξασα* (πλειστάκ. καὶ κατ-, προ-, προς-, μετ-). Παθ. *δοξάζομαι* (πλειστ.), παρατ. *ἐδοξαζόμην* (σπαν. Θουκ. Ζ, 75. Πλάτ. Κριτί. 121, β'.), μέλ. παθ. *δοξασθήσομαι* (σπαν. Πλάτ. Θεαίτ. 209, γ'. Παρμ. 165, α'.), ἀόρ. παθ. *ἐδοξάσθην* (σπαν. Πλάτ. Φίλ. 39, γ'. Νόμ. 645, γ'.), παρακ. *δεδόξασμαι* (σπαν. Πλάτ. Πολ. 511, α'. Σίσυφ. 387, β'.), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Ῥημ. ἐπίθ. *δοξαστὸς* (πολλάκ.) καὶ *ἀδόξαστος* (Πλάτ. Φαίδ. 84, α'.). Καὶ κατὰ περίφρασιν *εἰς δόξαν καθίστημί τινα* (=ποιῶ τινα δοξάζειν. Πλάτ. Εὐθύδ. 305, δ'.) Τὸ δὲ *δοξάζω* (καὶ μαλιστα τὸ παθ. *δοξάζομαι*) ἐπὶ τῆς σημασίας τοῦ *δόξαν, φήμην παρέχω* εἶναι μεταγενέστερον ἀπὸ τοῦ Πολυβίου καὶ ἑξῆς ἀρξάμενον (Πολυβ. Ϛ', νγ', 10 κτλ.). Οἱ 'Αττικοὶ πεζολόγοι ἀντὶ τοῦ *δυξάζομαι* λέγουσι *δόξαν λαμβάνω* (Ξενοφ. Παιδ. Α', Ϛ', 12. Πλάτ. Πολιτικ. 290, δ'. Ξεν. Ἱέρ. β', 15 [ἔνθα κακῶς γράφεται *ἀναλαμβάνουσιν*, ὅπερ σημαίνει τὸ ἀνακτᾶσθαι τὴν ἀποβληθεῖσαν παλαιὰν δόξαν. Ὅρα Cobet Nov. Lect. 555. Var. Lect. 116]. Δημ. 'Επις. Γ', § 5.), *δόξαν ἔχω* (Πλάτ. Μενέξ. 241, β'. Δημ. 2, 17. κτλ.), ἀντὶ δὲ τοῦ *δοξάζω τινὰ* λέγεται *δόξαν περιάπτω τινὶ* (Δημοσθ. 20, 10. κτλ.), *δόξαν περιτίθημί τινι* (Ἰσοκρ. 5, 149. κτλ.).

ΣΗΜ. Περὶ ῥίζ. ὅρα δοκῶ. δόξα (=δόκ-τjα, πρβλ. μύξα=μύκ-τjα, δίψα=δίπ-τjα), δοξάζω, ὅπερ κατὰ πρῶτον παρ' Ἡροδότῳ (Ζ', 135), ῥημ. παράγ. δόξασμα ('Αττ.), δοξαστὴς ('Αττ.), δοξαστικὸς ('Αττ.), δοξασία (μτγ.), δοξαστικῶς (μτγ., ὅπερ ἀμφίβολον, κατὰ Πολυδεύκην Δ'. 8). «Ὀρθῶς δοξάσαι ἢ ὀρθῇ δόξῃ χρήσασθαι ἢ ὑγιεῖ ἢ ἀληθεῖ ἢ ἀπλανεῖ ἢ ἀσφαλεῖ... τούτοις δὲ τἀναντία... δόξῃ ψευδεῖ χρήσασθαι, σφαλερᾷ πεπλανημένῃ» (Πολυδ. Δ', 8—10). «Δόξα: σημαίνει τὸν παρὰ τῶν πολλῶν ἔπαινον. Σημαίνει δὲ καὶ τὴν κατ' ἀρετὴν ὑπόληψιν. Δόξα δὲ διαφέρει εὐκλείας, ὅτι ἡ μὲν εὔκλεια δόξα παρὰ τῶν ἀγαθῶν, δόξα δὲ ὁ παρὰ τῶν πολλῶν ἔπαινος» (Βεκκ. 'Ανέκδ. 242, 29. Πρβλ. καὶ 'Αμμών. ἐν λ. δόξα.).

δορυφορῶ (εἰμὶ δορυφόρος τινός) (ἐνίοτε). παρατ. *ἐδορυφόρουν* (σπαν. Δημ. 23, 186), μέλ. *δορυφορήσω* (σπαν. Ξενοφ. Παιδ. Ζ', ε', 84), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Παθητ *δορυφοροῦμαι* (ἐνίοτε), τα δὲ λοιπὰ ἐλλείπουσιν.

ΣΗΜ. Παρὰ τὸ δορυφόρος, δορυφορία δορυφορέω-ῶ, δορυφόρησις (μτγ.), δορυφόρημα (μτγ.), τὸ δὲ δόρυ ἔχει ῥίζ. δρυ-, δορ-, δρῦς, δρυμά, δρυμός, δρυ-τόμος, δέν-δρε-ον (δένδρον μετ' ἀναδιπλώσεως), δρία, δόρυ(πληθ. δοῦρα, δούρατα), δούρειος, σανσκρ. drus (ξύλον, δένδρον) καὶ dru-mas, dâru (εἶδος ξύλου, πίτυος), darumas (σκληρός), δάρυλλος (δρῦς Μακεδόνες. Ἡσύχ.), Δρῦς, Δρύας, Δρύοψ, Δρίον. Ἴσως καὶ Δωρὶς (=τόπος δρυμώδης) καὶ Δωριεῖς. Ἔτι δενδρυάζειν (=κρύπτεσθαι ὄπισθεν τοῦ δένδρου, καραδοκεῖν), ὑπο-δενδρυ-άζειν (ἐξ ἀφανοῦς ἐπιφαίνεσθαι. Ἡσύχ.). Τὸ δορυφορῶ κατὰ πρῶτον παρ' Ἡροδότῳ· δόρυ μὲν φέρει ὁ μαχόμενος, δορυφορεῖ δὲ ὁ ὢν δορυφόρος τινός, ὁ φυλάσσων τινὰ διὰ δόρατος.

δουλεύω (εἰμὶ δοῦλος) (πλειστ.), παρατ. *ἐδούλευον* (ἐνίοτε), μέλλ. *δουλεύσω* (ἐνίοτε), ἀόρ. *ἐδούλευσα* (ἐνίοτε) καὶ παρακ. *δεδούλευκα* (σπαν. Ξενοφ. 'Αν. Δ', η', 4. Ἰσο. 6, 96. 14, 30. ψ. Δημ. 'Επις. δ', 8), τὰ δὲ ἄλλα ἐλλείπουσιν. Ῥημ. ἐπίθετ. *δουλευτέον* (Ἰσοκρ. 9, 7), *ἀδούλευτος* (Ἰσαῖ παρὰ Πολυδ. Γ'. 80).

ΣΗΜ. Ῥίζ. ὅρα ἐν τῷ δέω (=δένω), δοῦλος, δουλεύω, δουλεία, δούλευμα (ποιητ.), δουλευτὴς (μτγ.), τὸ δὲ δουλεύω κατὰ πρῶτον παρ' Αἰσχύλῳ.

δουλόω-ῶ (ποιῶ τινα δοῦλον). Σπανίως (Θουκ. Β', 61. καὶ (κατα-) Θουκ. Γ', 70. καὶ (συγκατα-) (Θουκ. Η. 46), μέλλ. *δουλώσω* (σπαν. Θουκ. Α', 138. Γ', 58), ἀόρ. *ἐδούλωσα* (σπαν. Θουκ Δ', 86. καὶ (κατ-) Ἰσο. 9, 20), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Μέσ. καὶ παθ. *δουλοῦμαι* (ἐνίοτε· καὶ κατα-), παρατ. μέσ. *ἐδουλούμην* (ἐνίοτε· καὶ κατ-, συγκατ-), μέλ. μέσ. *δουλώσομαι* (ἐνίοτε· καὶ κατα-), ἀόρ. μέσ. *ἐδουλωσάμην* (πολλάκ. καὶ κατ-, συγκάτ-), ἀόρ. παθ. *ἐδουλώθην* (ἐνίοτε· καὶ κατ-), παρακ. μέσ. καὶ παθ. *δεδούλωμαι* (πολλάκ. καὶ κατα-), ὑπερσ. μέσ. *καταδεδουλωμένος ἦν τινα* (Πλάτ. Μενέξ. 240, α'.).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Αἰσχύλῳ, ῥημ. οὐσ. δούλωσις. Ῥίζ. ὅρα δέω (=δένω). Τὸ μὲν ἐνεργ.= ποιῶ τινα δοῦλον ἑτέρῳ, τὸ δὲ μέσον=ποιῶ τινα δοῦλον ἐμαυτῷ (Λουκιαν. Σολοικ. σ. 583).

δουπέω-ῶ (κάμνω κρότον, δούπ-). Τὸ ῥῆμα εἶναι ποιητικόν, παρὰ δὲ τοῖς πεζοῖς τῶν 'Αττικῶν ἀπαντᾷ μόνον παρὰ Ξενοφῶντι ὁ ἀόριστος *ἐδούπησαν* (σπαν. Ξενοφ. 'Ανάβ. Α', η', 18. πρβλ. καὶ 'Αρριαν. 'Αναβ. Α', Ϛ', 4).

ΣΗΜ. Λέξις πεποιημένη, δόπ, δουπ (=δοFπ-), γδούπ- (FδοFπ-), δοῦπος (Ξενοφ. 'Ανάβ. Β', β', 19) καὶ γδοῦπος, δουπῶ καὶ

γδουπῶ, ἐρίγδουπος. Ὁ Cobet ἀπορρίπτει τὸ ῥῆμα νομίζων ὅτι παρ' Ἀττικοῖς ἐλέγετο «τὰς ἀσπίδας πρὸς τὰ δόρατα ἔκρουσαν» (Ξενοφ. Ἀνάβ. Δ', ε', 18). ὅρα Nov. Lec. σ. 417. διὸ καὶ ὀβελίζει ὅλως τὸ χωρίον. Τὸ δουπῶ κατὰ πρῶτον παρ' Ὁμήρῳ.

δραπετεύω (φεύγω κρυφίως). Ἀπαντᾷ μόνον κατ' ἐνεστῶτα (ἐνίοτε) καὶ μέλλ. σπανίως *δραπετεύσω* (Ξενοφ. Ἑλλ. Β', δ', 16).

ΣΗΜ. Ῥίζ. ὅρα -διδράσκω. Δραπέτης, δραπετεύω, δραπέτευσις (μτγ.), δραπέτευμα (μτγ.). Κατὰ πρῶτον τὸ ῥῆμα παρὰ Ξενοφῶντι.

δρασκάζω (= ἀποδιδράσκω). Ῥημ. ἀπηρχαιωμένον μόνον κατ' ἀπαρέμφ. *δρασκάζειν* (ἅπαξ· Λυσί. κατὰ Θεομνήστ. Α', 17).

ΣΗΜ. Ὅρα -διδράσκω, δρα-, δράσκω, δρασκ-άζω (πρβλ. καὶ ὀφλ-ισκ-άνω). Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Σόλωνι.

δράττομαι (πιάνω μὲ τὸ χέρι, κοινῶς ἀδράχνω), ἀποθ. Ἀπαντᾷ παρὰ ποιηταῖς καὶ μεταγενεστέροις, παρὰ δὲ τοῖς Ἀττικοῖς πεζολόγοις εὕρηται μόνον ὁ ἀόρ. *ἐδραξάμην* (σπαν. Πλάτ. Λῦσ. 209, ε'.).

ΣΗΜ. Ῥίζ. δρακ- (δρὰξ- δρακὸς = χούφτα), δράττομαι [= δράκ-jομαι], δράξ, δράγ-μα, δραχ-μή. Ἐνταῦθα καὶ δρέπ-ω (ἀντὶ δρέκ-ω, π = κ), δρέπ-ανον, δρεπάνη, ἄδρεπτος. Πρβλ. «δάρκ-ες δέσμαι» (Ἡσύχ.), σανσ. grah, grabh, λιθ. greb-ti, γερμ. greifen (=δράττομαι), σλαβ. grab-i-ti (ἁρπάζω), κοινῶς γραπώνω. Τὸ δράττομαι κατὰ πρῶτον παρ' Ὁμήρῳ.

δράω-ῶ (πράττω) (πλειστ. καὶ ἀντι-), παρατ. *ἔδρων* (σπαν. Θουκ. Α', 73. Ἀντιφῶν 4, δ', 6), μέλλ. *δρᾱ́σω* (πλειστάκ. καὶ συν-), ἀόρ. *ἔδρᾱσα* (πλειστάκ. καὶ ἀντ-), παρακ. *δέδρᾱκα* (πλειστάκ.), ὑπερσ. ἐλλείπει. Παθ. *δρῶμαι* (ἐνίοτε), παρατ. *ἐδρώμην* (σπαν. Θουκ. Γ', 55), ἀόρ. *δρασθὲν* (σπαν. Θουκ. Γ', 38. Ϛ', 53), παρακ. *δέδρᾱμαι* (παρ' Ἀττικ. ποιητ. καὶ Θουκ. Γ,54., παρ' ᾧ κακῶς γράφεται *δεδρασμένων*), τὰ λοιπὰ δὲ ἐλλείπουσιν. Ῥημ. ἐπίθ. *δραστέον* (πολλάκις).

ΣΗΜ. Δρα-, δρά-ω, λιθ. dar-aú (ποιῶ), dar-bas (ἔργον), δρᾶ-μα, δράστης, δραστήρ, δραστήριος, δρᾶ-νος (ἔργον) ὀλιγο-δρανέων (λιπόθυμος). «Τὸ ποιεῖν αὐτοὶ μὲν (Πελοποννήσιοι) δρᾶν, Ἀθηναίους δὲ πράττειν προσαγορεύειν» (Ἀριστοτ. Ποιητ. κεφ. 3). Τὸ ῥῆμα πρῶτον παρ' Ὁμήρῳ. Τὸ δρῶ συνωνυμεῖ τῷ ποιῶ καὶ ἐργάζομαι, διότι λέγεται εὖ ποιῶ καὶ εὖ δρῶ, κακῶς ποιῶ καὶ κακῶς δρῶ.

δρέπω (κόπτω καρπούς, ἀπολαμβάνω, κτλ.). Ἀπαντᾷ μόνον ἐνεστὼς (σπαν. Πλάτ. Πολ. 457, β'. Νόμ. 844, ε'.) καὶ ἀόρ. *κατέδρεψα* (σπαν. Πλάτ. Τίμ. 91, δ'.) καὶ μέσ. ἐνεστ. *δρέπομαι* (σπαν. Πλάτ. Ἴων 534, β'. Πολιτ. 401, γ'), τὰ δὲ λοιπὰ ποιητικὰ καὶ μεταγενέστερα.

ΣΗΜ. Δρεπ- (ἀντὶ δρεκ-, δρακ-, ὅρα δράττομαι), δρεπ-άνη, δρέπ-ανον καὶ δρέκ-ανον, δρέπτω (=δρέπω). Κατὰ πρῶτον τὸ ῥῆμα παρ' Ὁμήρῳ. Ἐνταῦθα ἀνήκει καὶ τὸ δόρπον (=δεῖπνον) κατὰ μετάθεσιν (Fick 1, 617).

δρύπτω (σπαράττω διὰ τῶν ὀνύχων), ποιητικόν, παρὰ δὲ τοῖς Ἀττικοῖς πεζολόγοις ἀπαντᾷ μόνον ὁ μέσ.

ἐνεστ. *δρυπτόμεναι* (σπαν. Ξενοφ. Παιδ. Γ', γ', 67) καὶ ὁ μέσ. παρατ. *ἐδρύπτοντο* (σπαν. Ξενοφ. Παιδ. Γ', α', 13)

ΣΗΜ. Ῥίζ. δρυφ-, ἀποδρύφω, δρύφω (ἐκδέρω), δρύπ-τ-ω (=Ἑβρ. τερέφ), δρυφάς, δρυφή. Κατὰ πρῶτον παρ' Ὁμήρῳ τὸ ῥῆμα.

δύναμαι (πλειστάκ.), ὑποτ. *δύνωμαι ῃ, ηται*, κτλ. (πλειστάκ.), προςτ. μόνον *δυνάσθω* (σπαν. Πλάτ. Πολ. 345. α'.), ἀπαρέμφ. *δύνασθαι* (πλειστάκ.), μετοχ. *δυνάμενος* (πλειστάκ.). παρατ. *ἐδυνάμην καὶ ἠδυνάμην, ἐδύνω* κτλ. (πλειστ.), εὐκτ. *δυναίμην, δύναιο, δύναιτο*, κτλ. (πλειστάκ.), μέλ. *δυνήσομαι* (πλειστάκ.), ἀόρ. *ἐ(ἠ)δυνήθην* (πλειστ.) καὶ *ἐδυνάσθην* (Ἰωνικ. καὶ παρὰ Ξενοφ. μόνον πολλάκ. ἄνευ προςτακτικῆς καὶ πάντοτε καθ' ὁριστικὴν διὰ τοῦ ε), παρακ. *δεδύνημαι* (ἐνίοτε), ὑπερσ. ἐλλείπει. Ῥημ. ἐπίθ. *δυνατὸς* (πολλάκ.), *ἀδύνατος* (πολλάκ.). Λέγεται καὶ κατὰ περίφρασιν *δύναμιν ἔχω* (Λυσί. 10, 7. Ἰσοκρ. 2, 12. Θουκ. Δ', 60. Δημ. 9, 16. κτλ.) καὶ *ἐν δυνάμει εἰμὶ* (Θουκ. Γ', 93. Ξεν. Ἑλλ. Δ', δ', 5. κτλ.) καὶ *δυνατός εἰμι* (Θουκ. Α', 139. Πλάτ. Θεαίτ. 185, β'. κτλ.).

ΣΗΜ. Ῥίζ. κατὰ Κούρτιον εἶναι γνα-, γνω- (γιγνώσκω), g'ânâmi (γνωρίζω), λατ. gnâ-rus (γνωστός, ἔμπειρος), «νάρω συνίημι· νάρειν ζητεῖν» (Ἡσύχ. καὶ Lobeck. Rhem. 132), δύ-να-μαι. Παρὰ δὲ τοῖς νῦν Λάκωσι τὸ δύναμαι λέγεται δένομαι. Ἐνταῦθα καὶ δυνάστης, δυναστεύω, δύναμις (ποιητ. δὲ δύνασις), δυνατός. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ.

δυναστεύω (εἰμὶ δυνάστης, τυραννῶ) (πλειστ. καὶ ἐν-), παρατ. *ἐδυνάστευον* (σπαν. Ἰσοκρ. 5, 40), ἀόρ. *ἐδυνάστευσα* (σπαν. Ἰσο. 3, 36. 4, 75. Αἰσχίν. 3, 103) καὶ *κατεδυνάστευσα* (σπαν. Ξεν. Συμπ. ε', 8) καὶ παθ. ἐνεστ. *δυναστεύομαι* (σπαν. Πλάτ. Πολ. 546, β'.), τὰ δὲ λοιπὰ μεταγενέστερα. Λέγεται καὶ *δυναστείαν ἔχω* (Ἰσοκρ. 2, 8. 12, 244. κτλ.) καὶ *δυνάστης εἰμί*.

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ἡροδότῳ ἀπαντᾷ, γίνεται δὲ παρὰ τὸ δυνάστης δυναστεύω, δυναστεία (ὅρα δύναμαι).

δύνω· ὅρα *δύω*.

δυςανασχετέω-ῶ (ἀγανακτῶ, δὲν ὑποφέρω). Μόνον ὁ ἐνεστὼς *δυςανασχετοῦντες* (σπαν. Θουκ. Ζ', 71), τὰ δὲ λοιπὰ μεταγενέστερα.

ΣΗΜ. Παρὰ τὸ δυςανάσχετον = οὐκ ἀνεκτὸν «καὶ κατὰ Θουκυδίδην οὐκ ἀνάσχετον, ἀφ' οὗ καὶ τὸ δυςανασχετοῦντες πεποίηκεν» (Πολυδεύκ. Γ', 130), δυςανασχετῶ (κατὰ πρῶτον Θουκυδίδης).

δυςθανατέω-ῶ (δυσκόλως ἀποθνήσκω). Ἀπαντᾷ μόνον ἡ μετοχὴ τοῦ ἐνεστ. *δυςθανατῶν* (σπαν. Πλάτ. Πολ. 406, β'.).

ΣΗΜ. Κατὰ πρῶτον παρ' Ἡροδότῳ (παρατατ. Θ'. 72). Πολυδ. Γ', 106: «καὶ Ἡρόδοτος ἐδυσθανάτει, οὗ τὸ ἐναντίον εὐθανάτως Κρατῖνος λέγει».

δυςθετέομαι-οῦμαι (δυςανασχετῶ). Ἀποθ. μόνον ἡ μετοχὴ τοῦ ἐνεστῶτος σπαν. *δυςθετούμενος* (Ξενοφ. Παιδ. Β', β', 5).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Ξενο-

φῶντι, παρὰ δὲ μεταγενεστέροις καὶ ἐνεργητικόν.

δυςκληρέω-ῶ (ἀποτυγχάνω τοῦ κλήρου). Μόνον ἡ μετοχὴ τοῦ ἐνεστ. *δυςκληρῶν* (σπαν. Πλάτ. Νόμ. 690, γ'.).

ΣΗΜ. Παρὰ τὸ δύςκληρος (Βεκ. 'Ανέκδ. 34, 25) δυςκληρῶ, δυςκλήρημα (μτγ.), δυςκληρία (μτγ.). 'Αντίθετον τοῦ δυσκληρεῖν εἶναι τὸ λαγχάνω. Τὸ δυςκληρῶ κατὰ πρῶτον παρὰ Πλάτωνι.

δυςκολαίνω (δυςτροπῶ, δυςκολεύομαι) (ἐνίοτε· Ξεν. 'Απ. Β', β', 8. Πλάτ. Θεαίτ. 155, α'. Δημ. 37, 15. Προοίμ. 38, σ. 1447), παρατ. *ἐδυςκόλαινον* (σπαν. Λυσί. 1, 11. Πλάτ. Φίληβ. 26, δ'.), μέλλ. *δυςκολανῶ* (σπανιώτ. 'Ισοκρ. 15, 149), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Λέγεται καὶ *δύσκολός εἰμι* (Πλάτ. Πολ. 407, β', κτλ.), *δυσκολίαν ἔχω* (Δημ. 5, 1. κτλ), *δυσκόλως ἔχω* ('Ισοκρ. 4, 129· κτλ.), *δυσκόλως διάκειμαι* Πλάτ. Φαίδ. 84, ε'. 'Ισοκρ. 3, 5. κτλ.).

ΣΗΜ 'Ρίζ. τοῦ δύςκολος, παρ' ὃ γίνεται τὸ δυςκολαίνω, εἶναι δυς- κολ-, τὸ δὲ κολ- τοῦτο οἱ μὲν ἀρχαῖοι ἐνόμιζον (τὸ) κόλον (= τροφή), ἐξ οὗ εὔ-κολ-ος, δύς-κολ-ος, κόλ-αξ, βου-κόλ-ος (ὅρα 'Αθήν. Ϛ', σ. 262, α'.), οἱ δὲ νεώτεροι τὸ κολ-, κλο (ἐξ οὗ καὶ τὸ κλώθω=στρέφω, κινῶ)=στρέφω, περιφέρω, κινῶ, ἐξ οὗ βου-κόλ-ος, λατ. col-us (ἠλακάτη), globus (= glo-bus=σφαῖρα), glo-mus (τολύπη), ἐξ ἀρχαιοτέρας ῥίζ. κελ-, κέλ-ης, κελητίζω, λατ. cel-er (ταχύς), cel-ox (κέλης, εἶδος πλοίου), σανσκρ. Kal, Kalajami (κεντῶ, ἐξορμῶ), ὅθεν δύςκολος (= δύςτροπος), κόλαξ (εὔστροφος, εὐκίνητος τοῖς λόγοις καὶ τρόποις).—"Ορα πωλῶ, αἰπολῶ. Τὸ δυςκολαίνω κατὰ πρῶτον παρ' 'Αριστοφάνει (Νεφ. 36).

δυςμεναίνω (δυςμενῶς διάκειμαι). Μόνον ἡ μετοχὴ τοῦ ἐνεστῶτος *δυςμεναίνων* (σπαν. Δημ. 18, 217) ἀπαντᾷ. Λέγεται καὶ *δυσμενής εἰμι* (Ξενοφ. 'Απομ. Β', ϛ', 21. κτλ.), *δυσμενῶς ἔχω τινί* ('Ισοκρ. 3, 5. κτλ.), *δυσμενείᾳ χρῶμαι* (Πλάτ. Φαῖδρ. 253, β'. κτλ.).

ΣΗΜ. Γίνεται παρὰ τὸ δυςμενής (σανσκρ. dur-manâs, ζενδ. dus-mananh), τοῦτο δὲ παρὰ τὸ ἀχώριστον δὺς (σανσκρ. dur, dus, λατ. durus) καὶ μένος (=θέλησις, ἐπιθυμία, δύναμις, καρτερία, ὅπερ ἐκ ῥίζ. μαν-, μεν-, λατ. mens, mentis (νοῦς), μαίνω (=μάν-jω), μεν-ε-αίνω (σφοδρῶς ἐπιθυμῶ, ὀργίζομαι), μαν ία, μῆν-ις, μάν-τις, κτλ. εὐμενής, εὐμενίζομαι. Τὸ δυςμεναίνω κατὰ πρῶτον παρ' Εὐριπίδῃ (Μήδ. 874). "Αλλως τὸ μένος ὁ 'Ι. Οἰκονομίδης (Φιλολ. 'Υποτυπ. 341) ἐτυμολογεῖ.

δυςτοκέω-ῶ (δυςκόλως τίκτω). Μόνον ἡ μετοχὴ *δυςτοκοῦσα* (σπαν. Πλάτ. Θεαίτ. 149, δ'.) ἀπαντᾷ.

ΣΗΜ. Κατὰ πρῶτον παρ' 'Αριστοφάνει (Βάτρ. 1423), γίνεται δὲ παρὰ τὸ δύστοκος (ποιητ. καὶ μεταγεν.), δυστοκία (μτγ.).

δυςτυχέω-ῶ (ἐνίοτε), παρατ. *ἐδυςτύχουν* (σπαν. Πλάτ. 'Επιστ. 325, γ'.), μέλλ. *δυςτυχήσω* (σπαν. 'Ισοκρ 19, 41), ἀόρ. *ἐδυςτύχησα* (πλειστ. καὶ προ-, συν-), παρακ. *δεδυςτύχηκα* (ἐνίοτε· καὶ προ- 'Ισο. 4, 141) καὶ ἀόρ. παθ. *δυςτυχηθῇ* (σπαν. Πλάτ. Νόμ. 877, ε'.=ὑπὸ δυστυχίας καταληφθῇ) καὶ τὰ *δυςτυχηθέντα* (σπαν. Λυσί. 'Επιτάφ. 70=τὰ μετὰ δυστυχίας πραχθέντα, τὰ δυστυχήματα), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Λέγεται καὶ *δυστυχής εἰμι* ('Ανδοκ. 2, 9. κτλ.).

ΣΗΜ. Κατὰ πρῶτον παρ' Αἰσχύλῳ, δυςτυχής, δυςτυχῶ, -ία, -ημα. "Ορα τυγχάνω καὶ δυσμεναίνω περὶ τοῦ δύς.

δυςυπνέω-ῶ (δυςκόλως κοιμῶμαι). Μόνον ἡ μετοχὴ τὰ *δυςυπνοῦντα παιδία* (σπαν. Πλάτ. Νόμ. 790, δ'.).

ΣΗΜ. Δύσυπνος (μτγ.), δυσυπνῶ. "Ορα ὑπνώττω. Τὸ δυσυπνῶ κατὰ πρῶτον παρὰ Πλάτωνι.

δυςφορέω-ῶ (δυςανασχετῶ, ἀγανακτῶ). Σπανίως ἀπαντᾷ, ὁ μὲν ἐνεστὼς εὕρηται *ὑποδυςφορῶ* (σπαν. ψ. Πλάτ. 'Επιστ. 357. ε'.), παρατ. *ἐδυςφόρουν* (σπαν. Ξενοφ. Παιδ. Β', β', 8), μέλλ. *δυςφορήσω* (σπαν. ψ. 'Ισοκρ. 'Επιστ. Ι', 2).

ΣΗΜ. Δύςφορος, δυςφορῶ (κατὰ πρῶτον παρ' Αἰσχύλῳ). "Ορα Πολυδεύκην Γ', 130.

δυςχεραίνω (κάμνω δυςχερές, ἀγανακτῶ, ὀργίζομαι) (πλειστάκ.), παρατ. *ἐδυςχέραινον* (ἐνίοτε), μέλλ. *δυςχερανῶ* (σπαν. 'Ισοκρ. 4, 12. Πλάτ. Νόμ. 746, α'.), ἀόρ. *ἐδυςχέρᾱνα* (πολλάκ.). Τὸ ῥῆμα ἀπαντᾷ καὶ μεταβατ. *δυςχεραίνω τι ἤ τινα* (ὅρα Δημ. 13, 1. 11. 21, 86. Πλάτ. Θεαίτ. 195, γ'.), ἐφ' ᾧ λέγεται καὶ παθητ. *δυςχεραίνομαι* ὑπό τινος (Δημοσθ. 10, 44. 61, 18. 'Επιστ. Δ', 11, σ. 1489), τὰ δὲ λοιπὰ μεταγενέστερα. 'Ρημ. ἐπίθ. *δυςχεραντέον* (πολλάκις). Λέγεται καὶ *δυχερῶς ἔχω πρός τι* (Πλάτ. Πρωταγ. 332, α'. κτλ.), *δυσχερές τι ποιοῦμαι* (Θουκ. Δ', 85. κτλ.) καὶ *δυςχερής εἰμι* (πολλάκ.).

ΣΗΜ. Δυςχερής, δυςχέρεια, δυςχεραίνω (πρῶτον παρὰ Σοφοκλεῖ), δυςχέρασμα ('Αττ.).

δυςωποῦμαι (ὑπόπτως ἔχω, εὐλαβοῦμαι), ἀποθ. (Πλάτ. Πολιτικ. 285, β'. Νόμ. 933, α'. Ξεν. 'Απομ. Β', α', 4. Κυνηγ. Θ', 16) καὶ παρατ. *ἐδυσωπούμην* (σπαν. Πλάτ. Φαῖδρ. 242, γ'.), τὰ δὲ λοιπὰ ἐλλείπουσιν.

ΣΗΜ. Παρὰ μεταγενεστέροις ὑπάρχει καὶ ὁ ἐνεργ. τύπος δυςωπέω-ῶ (ὅρα Λοβέκκ. εἰς Φρύνιχ. σ. 190). 'Ρίζ. δὺς καὶ ὀπ- (ὁράω). Πρβλ. καὶ Πολυδ. Β', 52: «δυςωπεῖσθαι τὸ ὑποπτεύειν τι ἰδόντα». «Δυσωπεῖσθαι ἀντὶ τοῦ φοβεῖσθαι 'Αττικοί, χρῶνται δ' αὐτῷ οἱ "Ελληνες ἀντὶ τοῦ αἰδεῖσθαι» (Μοῖρις). Βεκκ. 'Ανέκδ. 234, 23: «Δυσωποῦμαι: τὸ αἰσχύνομαι καὶ ὑφορῶμαι καὶ φοβοῦμαι καὶ τὸ ἀηδῶς ὁρᾶν ἢ ὁρᾶσθαι». 'Ρημ. ἐπίθ. ἀδυσώπητος (μεταγεν.=ἀναιδής. Πρβλ. Πλουτάρχ. περὶ Δυσωπ. 6. 13), δυσώπημα (μτγ.), δυσώπησις (μτγ.).

δύω (βυθίζω). Παρὰ τοῖς 'Αττικοῖς λέγεται σύνθετον *καταδῡ́ω* (ἐνίοτε), *ἀποδῡ́ω* (σπαν. Πλάτ. "Ιων 535, δ'.), *ἐκδῡ́ω* (σπαν. Δημ. 24, 204), *ὑποδῡ́ω* (σπαν. Ξεν. 'Ιππικ. η', 7), [καὶ ἐνδύω 'Ηρόδ. Β', 42], παρατ. μόνον *ἐνέδῡον* (σπαν. Ξενοφ. Παιδ. Ϛ', δ', 3), μέλλ. *καταδῡ́σω* (σπαν. Ξενοφ. 'Ανάβ. Ζ', β', 13), ἀόρ. (κατ-, ἐξ-, ἐν-, ἀπ-, περι-)*ἔδῡσα* (σύνθετος μόνον), παρακ. *ἀποδέδῡκα* (σπαν. Ξενοφ. 'Ανάβ. Ε', η', 23). Μέσον *δύομαι* (πολλάκ. καὶ ἐν-, ἀνα-, ἀπο-, ὑπο-, κατα-, δια-, παραπο-, παρα-) καὶ *δύνω* (σπαν. Ξεν. 'Ελλ. Α', Ϛ', 21. 'Ανάβ. Β', β', 3. 13) καὶ *παρειςδύνω* (σπαν. Δημάδ. 3), παθητ. *ἐκδύομαι* (ἐνίοτε), *ἐνδύο-*

μαι (σπαν. Πλάτ. Πολ. 377, ϐ'.)|καὶ *ἀποδύομαι* (ποιητ. 'Αριστοφ. Πλοῦτ. 930)], παρατ. μέσ. *ἐδυόμην* (σπαν. ἁπλοῦς (Πλάτ. Πολιτικ. 269, α'. Ξεν. 'Αν. Α', ι', 15) συνήθως δὲ σύνθετος (ἐν-, ἀν-, εἰς-, ὑπ-, ἀπ-, κατ-, παρ-), παθ. *ἐξεδυόμην* (σπαν. Δημ. 54, 20), μέλλ. μέσ. *δύ'σομαι* (σπαν. Πλάτ. Νόμ. 905, α'.,συνήθως δὲ σύνθ. κατα-, ὑπο-, δια-, ἀνα-, [ἐν-, ἐκ- ποιητ. καὶ μεταγ.]), ἀόρ. ϐ'. ἐνεργ. ὡς μέσ. *ἔδῡν* σπαν. ἁπλοῦς (Πλάτ. Φαῖδρ. 248, α'. 255, γ'. Τίμ. 25, δ'.), συνήθως δὲ σύνθετος (ἐν-, κατ-, ὑπ-, δι-, παρ-, ἀπ-, ἐξ-, [εἰς-], ἐξαν-) ἄνευ προστακτ. ποιητ. οὔσης, ὑποτ. *δύω* (Πλάτ. Κρατύλ. 413, ϐ'. Πολιτικ.273, δ'.), εὐκτ. *ὑποδύοι* (Ξενοφ. Ἱππικ. η', 7), ἀπαρ. σύνθετον — *δῦναι* (ἐν-, ἀπο-, κατα-), μετοχ. *δύς, δῦσα, δύν* ἐνίοτε ἁπλῆ, συνήθως δὲ σύνθετος (ἐν-, ἐκ-, ἀπο-, δια-, ἐξανα-, κατα-, παρα-, ὑπο-, [εἰς-]), παρακ. ἐνεργ. ὡς μέσ. *δέδῡκα* (ἐνίοτε ἁπλοῦς. Λυσί. 1, 22. Πλάτ. Φαίδ. 116, ε'. Νομ. 781, γ'. Αἰσχίν. 1, 10) καὶ συνήθως σύνθετος (ἐν-, [εἰς-], ὑπο-, παρα-, κατα-, ἐκ-), ὑπερσ. ἐνεργ: ὡς μέσ. *ἐνεδεδύκειν* (σπαν. Ξενοφ. 'Ανάϐ. Ε', δ', 13), [μέλλ. παθ. *ἀποδῠθήσομαι* (ποιητ. καὶ μεταγεν. 'Αριστοφ. Σφ. 1122. Λουκιαν. 'Ερμότ. 39], ἀόρ. παθητ. *ἐξεδύ'θην* ('Αντιφῶν Τετραλ. Α', ϐ', 5), [*ἀπεδύ'θην* δὲ ποιητ. καὶ μεταγενέστ. 'Αριστοφ. Βατρ. 715. Δίων Κάσ. Μ Ϛ', ε', 2), παρακ. παθ. *ἐκδέδῠμαι καὶ ἀποδέδῠμαι* (σπαν. Λυσί. 10, 10. Δημ. 54, 35. Πρϐλ. καὶ Βεκκ. 'Ανέκδ. σ. 218, 3), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. 'Ρημ. ἐπίθ. *ἄδυτος* (Πλάτ. Θεαίτ 162, α'.) καὶ *ἀποδυτέον* (Πλάτ. Πολ. 457, α'.)

ΣΗΜ. 'Ρίζ. δυ- (ἥτις ἴσως ἐκ τοῦ ju, ὡς ἴωξις καὶ δίωξις, ὅρα διώκω, ὡς ἐκ-δύω =λατ. ex-u-o, ἐν-δύω = ind-u-o, ex-uviae (ἔκδυμα) n-u-dus [=ne-u-dus] = γυμνός), ἔνδυμα, δύτης, ἄδυτος, ἀποδυτέον, ἐνδυτός (ποιητ. Αἰσχύλ. Εὐμ. 1028). Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ. Ὁ παρακ. ἐνδέδυμαι ἀντὶ τοῦ ἐκδέδυκα εἶναι μεταγενέστερος, οὗ πρῶτος ἐποιήσατο χρῆσιν ὁ Μένανδρος (Πολυδ. Ζ', 51).

δωροδοκέω-ῶ (δῶρα δέχομαι μετὰ μεμπτῆς ἐννοίας, κοιν. δωροδοκοῦμαι) (πλειστ. καὶ κατα- Λυσί. 27, 3), παρατ. *ἐδωροδόκουν* (ἐνίοτε· Λυσί. 25, 19. Ξεν. 'Αν. Ζ', Ϛ', 17. Δημ. 18, 46. Δείναρχ. 1, 74), μέλλ. *δωροδοκήσω* (σπαν. Δείναρχ. 1, 11. Δημοσθ. 18, 49), ἀόρ. *ἐδωροδόκησα* (σπαν. Αἰσχίν. 3, 58. 259. Δημ. 19, 97. Ὑπερείδ. 1, XI, 10), παρακ. *δεδωροδόκηκα* (ἐνίοτε· Λυσί. 29, 5. Δημ. 6, 34. 19, 121. 220. 258. Ὑπερείδ. 1, V, 24. XXXI, 7). Παθ. *δωροδοκοῦμαι* (C. I. A. T. Β'. 563), ἀόρ. παθ. τὰ *δωροδοκηθέντα* (σπαν. Αἰσχίν. 3, 221), παρακ. παθ. *δεδωροδόκηται* (σπαν. Δημ. 19, 329 κατὰ Cobet) καὶ τὸ *δεδωροδοκημένον* (σπαν. Δείναρχ. 1, 66. Πρϐλ. καὶ Πολυδ. Δ', 35. Ϛ', 190), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. 'Ρηματ. ἐπίθ. *ἀδωροδόκητος* (πολλάκ.).

ΣΗΜ. Τὸ παθ. δωροδοκεῖται = ὑπὸ τῶν δωροδοκούντων κατὰ τῆς πόλεως πράττεταί τι, τὰ δωροδοκηθέντα = τὰ ὑπὸ τῶν δωροδοκούντων κατὰ τῆς πόλεως πραχθέντα. Οὕτω δὲ καὶ δεδωροδόκηται. Γίνεται παρὰ τὸ δωροδόκος (δῶρα δεχόμενος, δεκαζόμενος Βεκκ. 'Ανέκδ. 234, 22) τὸ δωροδοκῶ (= διαφθειρόμενος δῶρα δέχομαι, δεκάζομαι, παρὰ δὲ μεταγενεστέροις = δῶρα δίδωμι, δεκάζω τινά. Βεκκ. 'Ανέκδ. 242, 33), δωροδόκημα, δωροδοκία. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ἡροδότῳ (Ϛ', 82). «ἐδέκαζεν ὁ διδοὺς χρήματα, ἐδωροδόκει δὲ ὁ λαμϐάνων». Ὅρα καὶ Cobet Nov. L. 502. Var. L. 347—349).

δωροτελέω-ῶ (τελῶ τὰ δῶρα ἢ προσφέρω). Μόνον τὸ ἀπαρέμφ. *δωροτελεῖν* («*θύειν καὶ δωροτελεῖν*». Μαντεία παρὰ Δημ 43, 66).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Δημοσθένει.

δωροῦμαι (κοιν. δωρίζω), ἀποθ. (πλειστάκ. καὶ ἀντι-), παρατ. *ἐδωρούμην* (σπαν. Ξεν. Παιδ. Ε', ε', 39. Η', γ', 35. Πλάτ. 'Αλκ. Β', 148, ε'. καὶ (δι-) Ξεν. Παιδ. Γ', γ, 6) μέλ. *δωρήσομαι* (σπαν. Πλάτ. Φαῖδρ. 256, ε'.), ἀόρ. μέσ. *ἐδωρησάμην* (πολλάκ.), ἀόρ. παθ. μετὰ παθ. διαθ. *ἐδωρήθην* (σπαν. Ἰσοκρ. 4, 26. Πλάτ. Τίμ. 47, ϐ'), παρακ. μέσ. καὶ σπαν. παθ. *δεδώρημαι* (ἐνίοτε), ὑπερσ. ἐλλείπει.

ΣΗΜ. Παρὰ ποιηταῖς ἀπαντᾷ καὶ ἐνεργ. τύπος ἐδώρησα (Ἡσιοδ. Ἔργ. 81. Πίνδ. 'Ολ. Ϛ', 73. Βεκκ. 'Ανέκδ. 90, 23) καὶ ῥημ. ἐπίθ. δωρητός (Σοφ. Οἰδ. Τ. 384). 'Ρίζ. ὅρα δίδωμι, ῥημ. παράγωγ. δώρημα (καὶ 'Αττ.). Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ ὡς ἀποθ. ἅπαξ ('Ιλ. Κ, 557).

δωροφορέω-ῶ (προσφέρω τινὶ δῶρα). Μόνον ὁ ἐνεστὼς σπανίως (Πλάτ. Εὐθύφρ. 14, ε'. Φαῖδρ. 266, γ'.).

ΣΗΜ. Δωροφόρος (ποιητ.), δωροφορία (μτγ.), δωροφορῶ, ὅπερ εἶναι συχνὸν παρὰ μεταγενεστέροις καὶ κατὰ πρῶτον παρὰ Πλάτωνι εὕρηται.

Ε

ἐαρίζω (διάγω τὸ ἔαρ). Μόνον ὁ ἐνεστὼς σπανίως (Ξενοφ. 'Ανάϐ. Γ' ε', 15) καὶ μέσ. *ἐαρίζομαι* (σπαν. ψ. Πλάτ. 'Αξίοχ. 371, γ'.).

ΣΗΜ. «Καὶ τὸ θέρους που διαγαγεῖν θερίσαι καὶ ἐνθερίσαι, καὶ τὸ ἦρος ἐαρίσαι καὶ ἐνεαρίσαι καὶ τὸ χειμῶνος χειμάσαι καὶ ἐγχειμάσαι καὶ χωρία χειμάδια» (Πολυδ. Α', 61). 'Ρίζ. Fέαρ (ἔαρ), λατ. ver, σανσ. vas-antas [vas = ἐνδύειν), ὡς εἰ τὸ ἔαρ ἦν τὸ ἐνδῦον τὴν γῆν, ἢ vas = καίειν λάμπειν], γίαρες (ἔαρ. Ἡσύχ.), γέαρ, βηράνθεμον (νάρκισσος), οἱ δὲ Fηράνθεμον λέγουσιν, ἐαρίζω (κατὰ πρῶτον παρὰ Ξενοφῶντι), ἐαρινός.

ἐάω-ῶ (ἀφήνω) (πλειστ.), παρατ. *εἴων* (πλειστ.), μέλ. *ἐᾱ'σω* (πλειστάκ.), ἀόρ. *εἴᾱσα* (πλειστ.), παρακ. *εἴᾱκα* (σπαν. Δημ. 8, 37. 43, 78), ὑπερσ. ἐλλείπει. Παθ. *ἐῶμαι* (σπαν. Πλάτ. Πολ. 519, γ'. Δημ. 2, 16. 8, 59),

παρατ. ἐλλείπει, μέλ. μέσ. ὡς παθ. *ἐάσομαι* (σπαν. Θουκ. Α', 142), ἀόρ. παθ. *εἰάθην* (σπαν. Πλάτ. Τιμ. 85, δ'. Ἰσοκρ. 4, 97. Δημ. 10, 8), παρακ. παθ. *εἴαμαι* (σπανιώτ. Δημ. 45, 22), ὑπερσ. ἐλλείπει. Ῥημ. ἐπίθ. *ἐατέος,-έον* (πλειστάκ.).

ΣΗΜ. Τὸ ἐ ά ω εἶναι σεFά-ω, σανσ. suvatis, λατ. de-sino ἀντὶ de-sivo, ἔβασον (=ἔασον) Συρακόσιοι καὶ Λάκωνες (Σχολ. Πινδ. Πυθ. 4, 249. Γρηγόρ. Κορίνθ. σ. 354. Σουΐδ., Ἡσύχ., Μέγ. Ἐτυμολ. 308, 27), παρατ. εἴων [=ἐ-σέFαον, ἐ-έFαον], εἴασα [= ἐσέFασα]. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ.

ἑβδομεύομαι (ἐπὶ παιδίου, τῆς ἑβδόμης ἡμέρας μετὰ τὴν γέννησιν αὐτοῦ ἑορταζομένης, ἐν ᾗ καὶ τὸ ὄνομα αὐτοῦ ἐτίθετο). Μόνον ὁ ἐνεστὼς ὁ παθ. *ἑβδομευόμενος* (Λυσί. παρ' Ἀρποκρατ. ἐν λέξ.).

ΣΗΜ. «Τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδομάδας καὶ τὰς δεκάτας ἦγον καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς οἱ μὲν τῇ ἑβδόμῃ, οἱ δὲ τῇ δεκάτῃ» (Ἀρποκρ.). Ῥίζ. ἑ π τ-, σ ε π τ-, ἑπτά, σανσ. saptan (ζενδ. haptan), λατ. septem, ἕβδομος (= ἕπτομος, πρβλ. πρό-μος, λατ. septimus, σανσ. saptama-s) κατ' ἐναλλαγὴν τοῦ πτ εἰς βδ (ὡς καὶ τὸ ὄγδοος ἐκ τοῦ ὄκτοFος=λατ. octa-vus κατ' ἐναλλαγὴν τοῦ κτ εἰς γδ), ἑβδομάς, ἑ β δ ο μ ε ύ ο μ α ι (κατὰ πρῶτον Λυσίας).

ἐγγυάω-ῶ (ἐγχειρίζω, ὑπισχνοῦμαι, ἀρραβωνίζω) (ἐνίοτε· καὶ κατ-, ἐξ-, παρ-, ἐπ-), παρατ. *ἠγγύων* (ἐνίοτε· καὶ παρ-, κατ-), μέλλ. ἐλλείπει, ἀόρ. *ἠγγύησα* (πολλάκ. καὶ παρ-, κατ-, ἐξ-), παρακ. *ἠγγύηκα* (σπαν. Ἰσαῖ. 3, 40. Δημ. 59, 53), ὑπερσ. *ἠγγυήκει* (σπαν. Ἰσαῖ. 3, 58) καὶ *ἠγγυηκὼς ἦν* σπαν. Ἰσαῖ. 3, 40). Μέσ. *ἐγγυῶμαι* (πλειστάκ. = νυμφεύομαι, ἐγγυῶμαι· καὶ σύνθετον παρ-), παθ. δὲ *κατεγγυῶμαι* (σπαν. Πλάτ. Νόμ. 872, β'.), παρατ. μέσ. *ἠγγυώμην* (ἐνίοτε), μέλλ. μέσ. *ἐγγυήσομαι* (σπαν. Δημ. 24, 46), ἀόρ. μέσ. *ἠγγυησάμην* (πλειστάκ. καὶ δι- [Ἰσο. 17, 14], προς- [Δημ. 31, 11]), ἀόρ. παθ. *ἠγγυήθην* (ἐνίοτε· καὶ ἐξ-, δι-, κατ-), παρακ. μέσ. *ἠγγύημαι* (σπαν. Ἰσαῖ. 3, 73. Δημ. 33, 24) καὶ *ἐγγεγύημαι* (ἅπαξ. Πλάτ. Νόμ. 923. δ', ὅπερ ἴσως γραπτέον *ἠγγύημαι*), παθητ. δὲ *διηγγύημαι* (σπαν. Θουκ. Γ', 70) καὶ *ἐξηγγύημαι* (σπαν. Δημ. 19, 169), ὑπερσ. μέσ. *ἠγγυήμην* (σπαν. Ἰσαῖ. 3, 55. Δημ. 33, 29) καὶ *ἠγγυημένος ἦν* (σπαν. Δημ. 33, 24). Ῥημ. ἐπίθ. *ἐγγυητὴ* (γυνὴ πολλάκ.=μεμνηστευμένη, οὗ ἀντίθ. τὸ ἑταίρα. Πρβλ. Ἰσαῖ. 3, 6). Λέγεται δὲ καὶ κατὰ περίφρασιν *ἐγγυητὴν καθίστημι* (Ἀντιφῶν 5, 17. Ἀνδοκ. 1, 2. 17. 44. 134. Πλάτ. Νόμ. 937, β'. Δημ. 33, 8. κτλ.), *ἐγγυητὴν παρέχω* (Πλάτ. Νόμ. 871, ε'. κτλ.), οὗ ἀντίθετον τὸ *ἐγγυητὴν λαμβάνω* (Δημ. 33, 7. 37, 40. κτλ.), παθ. *ἐγγυητὴς γίγνομαι* (Δημ. 33, 30. κτλ.), μέσ. *ἐγγύας ποιοῦμαι* (ἀρραβωνίζομαι, νυμφεύομαι. Δημ. 46, 18).

ΣΗΜ. Ἐ γ γ υ ῶ = ἐν γυίοις δίδωμι, ἐγγυαλίζω (ἐγχειρίζω). Ὅρα ἀ π ο γ υ ι ῶ. Τὸ ἐ γ γ υ ῶ = ὑπισχνεῖσθαι, ἐγχειρίζειν, παραδιδόναι, μνηστεύειν θυγατέρα (ἐπὶ τοῦ πατρός), τὸ δὲ ἐ γ γ υ ῶ μ α ι = μνηστεύομαι, νυμφεύομαι (ἐπὶ τοῦ λαμβάνοντος) καὶ =ἐμαυτὸν ἐγγυητὴν καθίστημι (ὅρα Ἀσωπ. Περ. Β'. 313, § 66—68. Βεκκέρ. Ἀνέκδ. 140, 4. 187, 12.). «Τ ὴ ν μ ν η σ τ ὴ ν

κ α ὶ ἐ γ ν υ η τ ὴ ν ἂ ν ε ἴ π ο ι ς κ α ὶ τ ὸ π ρ ᾶ γ μ α ἐ γ γ ύ η ν κ α ὶ τ ὸ ῥ ῆ μ α ἐ γ γ υ ή σ α σ θ α ι κ α ὶ ἐ γ γ υ ῆ σ α ι (Λ υ κ ο ῦ ρ γ ο ς δ ὲ δ ι ε γ γ υ ᾶ ν τ ὸ ἐ γ γ υ ᾶ ν ε ἶ π ε ν) κ α ὶ τ ὸ ν γ ά μ ο ν ὑ π - έ γ γ υ ο ν, ὥ σ π ε ρ τ ὸ ἐ ν α ν τ ί ο ν ἀ ν - έ γ γ υ ο ν· ὁ δ ὲ π ε ν θ ε ρ ὸ ς ἐ γ γ υ ᾷ, ἁ ρ μ ό ζ ε ι» (Πολυδ. Γ', 34). Τὸ δ' ἐ ξ ε γ γ υ ῶ = ἀπαλλάττω τινὰ τῆς εἰρκτῆς δι' ἐγγυήσεως καὶ ἐ ξ ε γ γ υ ῶ μ α ι = δίδωμι ἐγγυητὴν ὑπὲρ τῆς τοῦ σώματός μου ἀσφαλείας (πρβλ. Βεκκ. Ἀνέκδ. 38, 9), τὸ δὲ κ α τ ε γ γ υ ῶ τ ι ν α = ἀναγκάζω τινὰ νὰ δώσῃ ἐγγύησιν (Πλάτ. Νόμ. 872, β'.), τὸ δὲ δ ι ε γ γ υ ῶ τ ι ν α = δι' ἐγγυήσεως ἀπαλλάττω τινά, τὸ δὲ π α ρ ε γ γ υ ῶ = παραγγέλλω, διατάσσω καὶ μέσ. π α ρ ε γ γ υ ῶ μ α ι (σπαν.=παρεγγυῶ· Ξεν. Ἀνάβ. Δ', α', 17. Λακ. Πολ. ια', 8), τὸ δὲ ἐ π ε γ γ υ ῶ ἅπαξ ἀπαντῶν ἔν τινι ἀρχαίῳ νόμῳ (Λυσί. 10, 17)=ἐγγυῶ, τὸ δὲ π ρ ο σ ε γ γ υ ῶ μ α ι τὸ μέσον ἅπαξ ἀπαντῶν κατὰ μέσον ἀόρ. (Δημ. 31, 11) = πρὸς τοῖς ἄλλοις ἐγγυῶμαι. Τὸ ἐ γ γ υ ῶ, κατὰ πρῶτον παρ' Ὁμήρῳ. Ῥημ. παραγ. ἐγγύησις, ἐγγυητής, ἐγγύη, παρεγγύη, παρεγγύησις, κατεγγύη, ἐξεγγύησις, διεγγύησις, ἔγγυος, ἐχέγγυος, μεσέγγυος (μτγ.).

ἐγείρω (ἐξυπνῶ, διεγείρω τινὰ) (πλειστάκ. καὶ ἀν-, ἐπ-), παρατ. *ἤγειρον* (σπαν. Πλάτ. Κρίτ. 43, β'.), μέλ. *ἐξεγερῶ* (σπαν. Ξενοφ. Ἑλλ. Ϛ', δ', 36), ἀόρ. *ἤγειρα* (ἐνίοτε· καὶ ἐπ-, ἀν-, ἐξ-), παρακ. β'. ἀμετάβ. ἢ οὐδέτ. *ἐγρήγορα* (=εἰμὶ ἄγρυπνος· πλειστάκ.), ὑπερσ. *ἐγρηγόρειν* (σπαν. Ξενοφ. Παιδ. Α', δ', 20. Ἀνάβ. Δ', ϛ', 22). Μέσ. *ἐγείρομαι* (ἐνίοτε· καὶ ἀν-), παθ. *ἐγείρομαι* (ἐνίοτε), παρατ. παθ. *συνηγειρόμην* (σπαν. Πλάτ. Χαρμίδ. 156, δ'.), ἀόρ. παθ. *ἠγέρθην* (ἐνίοτε· ὡς μέσ. καὶ σύνθετ. ἐξ-, ἀν-, σπανίως δὲ ὡς παθ. Ξενοφ. Ἱππικ. γ', 6. καὶ (ἐπ-) Πλάτ. Μεν. 86, α'.), ἀόρ. μέσ. β'. *ἠγρόμην* (σπαν. Πλάτ. Λῦσ. 204, δ'.) καὶ *ἐξηγρόμην* (σπαν. Πλάτ. Συμπ. 223, γ'. Πολ. 534, γ'.), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Ὅρα Ἡμετ. Γραμματ. Παρατηρ. εἰς ἀρχ. Ἑλλ. § 213.

ΣΗΜ. Ῥίζ. γ ε ρ-, λατ. vig-ilo (εἰμὶ ἄγρυπνος), vig-il (ἄγρυπνος), καὶ μετὰ προθέματος ε ἐ-γ ε ρ-, ἐ γ ε ί ρ ω [ἐ-γέρ-jω], αἰολ. ἐγέρρω, γορ-γὸς = λατ. veg-etus, ἔγερσις, ἐγερτέος (ποιητ. Εὐρ. Ῥῆσ. 690), σανσ. gar- καὶ ἀναδιπλώσει gâ-gar-mi, (ἐγείρω). Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ.

ἐγκωμιάζω (πλειστάκ.), παρατ. *ἐνεκωμίαζον* (σπαν. Ξενοφ. Παιδ. Ε', γ', 3. Αἰσχίν. 3, 87), μέλλ. μέσ. ὡς ἐνεργ. *ἐγκωμιάσομαι* (ἐνίοτε) καὶ ἐνεργ. *ἐγκωμιάσω* (ἐνίοτε), ἀόρ. *ἐνεκωμίασα* (πολλάκ.), παρακ. *ἐγκεκωμίακα* (ἐνίοτε), ὑπερσ. ἐλλείπει. Παθ. *ἐγκωμιάζομαι* (ἐνίοτε) καὶ παρακ. παθ. *ἐγκεκωμίασμαι* (ἐνίοτε), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Ῥημ. ἐπίθ. *ἀνεγκωμίαστος* (σπαν. Ἰσοκρ. 9, 73). Τὸ μέσ. αὐτοπ. κατ' ἀνάλυσιν, *ἐγκωμιάζω ἐμαυτόν* (Δημ. 51, 3. κτλ.). Λέγεται καὶ *ἐγκώμιον ποιῶ τινι* (Πλάτ. Νόμ. 829, γ'. Συμπ 177, β'.) καὶ *ἐγκώμιον ποιῶ εἰς ἐμαυτόν* (Πλάτ. Λῦσ. 205, δ'.) καὶ *ἐγκώμια ἔνεισι* (Πλάτ. Πρωταγ. 326, α'.)

ΣΗΜ. Παρὰ τὸ ἐ γ κ ώ μ ι ο ς ὕμνος ἐγκωμιάζω, τὸ δὲ ἐ γ κ ώ μ ι ο ς ὕμνος ἢ ἐ γ κ ώ μ ι ο ν ἁπλῶς ἐκ τοῦ ἐν καὶ κῶμος (=ἐπινίκιος πομπή, καθ' ἣν ὁ νενικηκὼς εἰς ἀγῶνα προεπέμπετο οἴκαδε (ὅρα κ ε ῖ μ α ι. Πολυδ. Θ', 37). Διαφέρει δὲ ἔ π α ι ν ο ς καὶ ἐ γ κ ώ μ ι ο ν· «ἔ π α ι ν ο ς τ ῆ ς ἀ ρ ε τ ῆ ς,

τὰ δὲ ἐγκώμια τῶν ἔργων» ('Αριστοτ. 'Ηθ. Νικομ. Α', ιϐ', 6. 'Ρητορ. Α', 9). Παρ' 'Ηροδότῳ (Ε', 5) καὶ μεταγ. καὶ παθητ. ἀόρ. ἐνεκωμιάσθην. Τὸ ἐγκωμιάζω κατὰ πρῶτον παρ' 'Ηροδότῳ.

ἐγχειρέω-ῶ (ἐπιχειρῶ, χειρουργῶ) (πλειστ.), παρατ. *ἐνεχείρουν* (ἐνίοτε), *μέλ.* *ἐγχειρήσω* (σπαν. Θουκ. Δ', 122. Πλάτ. 'Επιστ. 328, γ'.), ἀόρ. *ἐνεχείρησα* (πλειστ.), παρακ. *ἐγκεχείρηκα* (σπαν. Πλάτ. Πολιτικ. 257, γ'., Αἰσχίν. 2, 130), ὑπερσ. ἀναύξ. *ἐγκεχειρήκη* (σπαν. Πλάτ. Συμπόσ. 217, γ'. ὅπερ ἴσως γραπτέον μετ' αὐξήσεως). Τὰ λοιπὰ ἐλλείπουσιν. 'Ρημ. ἐπίθ. *ἐγχειρητέον* (ἐνίοτε), [*ἀπαρεγχείρητος* ψ. Πλάτ. Τίμ. Λοκρ. 95, α'.].

ΣΗΜ. Ἔγινεν ἐκ τοῦ ἐν καὶ χείρ, ὡς (ἐπὶ καὶ χείρ) ἐπιχειρῶ, κατὰ σύνταξιν, ῥημ. παράγωγα ἐγχείρημα (ποιητ. καὶ μεταγεν.), ἐγχείρησις (Αττ.), ἐγχειρητὴς (ποιητ. καὶ μεταγεν.). Κατὰ πρῶτον παρὰ Σοφοκλεῖ τὸ ῥῆμα.

ἐγχειρίζω (παραδίδωμί τί τινι, δίδω τι εἰς τὰς χεῖράς τινος) (ἐνίοτε), παρατ. *ἐνεχείριζον* (ἐνίοτ. Ξεν 'Αγησ. γ', 2. Αἰσχίν. 3, 234. Δημ. 25, 49), μέλλ. *ἐγχειριῶ* (σπαν. Ξεν. Οἰκ. η', 10. Πλάτ. Πολ. 506, α'. Δημ. 10, 76. 19, 324), ἀόρ. *ἐνεχείρισα* (πλειστάκ.), παρακ. *ἐγκεχείρικα* (σπαν. Δημ. 19, 60. 180. Προοίμ. 30. Δείναρχ. 1, 9), ὑπερσ. ἐλλείπει. 'Αόρ. μέσ. *ἐνεχειρισάμην* (σπαν. Θουκ. Ε', 108), ἀόρ. παθ. *ἐνεχειρίσθην* (σπαν. Ξενοφ. 'Ελλ. Δ', δ', 12 καὶ C. I. A. T. Β', 467. 471), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Τὸ δὲ μέσ. αὐτοπαθ. ἐκφέρεται κατ' ἀνάλυσιν *ἐγχειρίζω ἐμαυτὸν* (πολλάκις).

ΣΗΜ. Μεταγενέστερα εἶναι τὸ ἐγχειρίζομαι ('Αριστοτ. Π. Φυτ. 814, 23), ἐγκεχείρισμαι (Λουκιαν. Ἔρωτ. 39). Κατὰ πρῶτον παρ' 'Ηροδότῳ τὸ ῥῆμα. Γίνεται ἐκ τοῦ ἐν χειρὶ ἢ χερσὶ τίθημι, ὡς ἐκ τοῦ μετὰ χεῖρας ἔχω μεταχειρίζω καὶ (συνήθως) μεταχειρίζομαι κτλ. ῥημ. παράγ. ἐγχείρισις, ἐγχειρισμός, ἐγχειριστής (ἅπαντα μεταγενέστ.).

ἑδωλιάζω (θέτω ἐπὶ ἕδρας, συγκαθίζω). Μόνον ὁ ἀόριστ. *ἑδωλιάσαι* (Λυκοῦργ. 'Απολ. παρ' 'Αρποκρατ. ἐν λέξ.).

ΣΗΜ. «'Εδωλιάσαι.... ἐπὶ τοῦ καθέζεσθαι καὶ ἑδωλίαι αἱ ἐν ταῖς ναυσὶ καθέδραι. 'Ηρόδοτος πρώτῳ» ('Αρποκρατ. ἐν λέξ.). «Τοὺς δὲ ἀναϐαθμοὺς καὶ βάθρα καὶ ἕδρας καὶ ἑδώλια καὶ ἑδωλιάζειν τὸ συγκαθίζειν» (Πολυδ. Δ', 121). «'Εδωλιάσαι καὶ ἰκριῶσαι: ἑκατέρῳ αὐτῶν ἐχρήσαντο οἱ ῥήτορες. Ἔστι δὲ τὸ μὲν ἑδωλιάσαι οἱονεὶ συνθεῖναι ἔκ τινων ξύλων ἁπλῶς πρὸς τόπον τινὰ συντεθέντων· τὸ δὲ ἰκριῶσαι τὰς ἐκ μακρῶν ξύλων συντιθεμένας στέγας ὑπὸ στέγαις ἑτέραις» (Βεκκ. 'Ανέκδ. 259, 32). Τὸ ἑδωλιάζω κατὰ πρῶτον παρὰ Λυκούργῳ· ὅρα ἕζομαι.

ἕζομαι (κάθημαι). 'Απλοῦν ποιητικόν, παρὰ δὲ τοῖς 'Αττικοῖς πεζολόγοις ἀείποτε σύνθετον *καθέζομαι* (πλειστάκ. καὶ παρακαθ-, περικαθ-, ἐγκαθ-, προςκαθ-, συγκαθ-), παρατ. παρὰ τοῖς 'Αττικοῖς ἀείποτε *ἐκαθεζόμην* (πλειστ. καὶ ἀντ-, συν-, παρ-, συμπαρ-) μετὰ σημασίας ἀορίστου, μέλλ. συνηρ. *καθεδοῦμαι* (ἐνίοτε· καὶ προς-), τὰ δὲ λοιπὰ ἐλλείπουσιν.

ΣΗΜ. 'Ρίζ. σεδ-, λατ. sed-eo, σανσ. sad-jami ἢ sid-jami, σέδ-ας (καθέδρας. 'Ησύχ.), λατ. sel-la (ἀντὶ sed-la), ἐλλὰ (=καθέδρα. 'Ησύχ. καὶ τὸ ἐν Δωδώνῃ ἱερόν), σέλλα ἐν τῇ δημώδει καὶ σελλὶ (τὸ κάθισμα, ἐφ' οὗ καθήμεναι αἱ γυναῖκες τίκτουσιν) [σέδ-jομαι] ἕζομαι, ὡς παίζω [=παίδ-jω], ἕδ-ρα, ἕδ-ώλιον, ἑδωλιάζω, ἐν-έδρα, ἐνεδρεύω, κτλ. Τὸ ἕζομαι κατὰ πρῶτον παρ' 'Ομήρῳ. Καθίζω μὲν = καθίσαι ποιῶ ἕτερον, καθέζομαι δὲ = καθίσαι ποιῶ ἐμαυτόν (Πολυδ. Γ', 89. Λουκιαν. Σολοικ. § 11).

ἐθέλω (θέλω) (καὶ συν-) (πλειστάκις) καὶ ἐνίοτε *θέλω*, παρατ. *ἤθελον* (πλειστ.), μέλλ. *ἐθελήσω* (πλειστάκ. σπανιώτατα δὲ καὶ *θελήσεις, θελήσει θελήσουσι, θελήσειν*), ἀόρ. *ἠθέλησα* (πλειστάκ.), ὑποτ. ἐθελήσω (σπανιώτ. δὲ *θελήσῃ* Ξενοφ. Παιδ. Β', δ', 19), κτλ., εὐκ. *ἐθελήσαιμι*, προστ. ἐθέλησον ἀπαρ. *ἐθελῆσαι* (σπαν. δὲ θελῆσαι Θουκ. Ε', 72), μετοχ. *ἐθελήσας* (σπαν. δὲ *θελήσας* 'Ισαῖ. 8, 11), παρακ. *ἠθέληκα* (σπαν. Ξεν. Παιδ. Ε', ϐ', 9. Αἰσχίν. 2, 139. Δημ. 47, 5), ὑπερσ. *ἠθελήκειν* (σπαν. Ξενοφ. 'Ελλ. ϛ', ε', 21).

ΣΗΜ. Τὸ ἐθέλω λέγεται θέλω συνήθως εἰς τὰς φράσεις, θεοῦ θέλοντος, ἢν θεὸς θέλῃ, ἐὰν θεοὶ θέλωσι. 'Ρημ. παράγ. ἐθελοντής, ἐθελούσιος, ἐθελοντί, θέλημα (μεταγεν.), θέλησις (μεταγεν.), θελήμων (μτγ.), θελητός (μεταγ.) θέλω (ὅρα περὶ τῆς διαφορᾶς τὸ βούλομαι). Τὸ δὲ ἐθέλω κατὰ πρῶτον παρ' 'Ομήρῳ. 'Ρίζ. del-, σανσ. dhar (= λατ. sustineo), μετοχ. dhr̥-tas (ἕτοιμος, πρόθυμος) μετὰ τοῦ προθέμ. ε, ἐθέλω. 'Εν 'Αττικαῖς δὲ ἐπιγραφαῖς εὕρηται θέλῃ ἀπὸ τοῦ 456 πρὸ Χριστοῦ (CIA, IV, 1, c, 16).

ἐθίζω (συνηθίζω τινὰ) (πλειστ. καὶ προς-, συν-, ἀπ-), παρατ. *εἴθιζον* (σπαν. 'Αντιφῶντ. 'Απόσπ. παρὰ Στοϐ. 'Ανθολ. 16, 37) καὶ *προςείθιζον* (σπαν. Ξενοφ. Παιδ. Η', ά, 36), μέλλ. *ἐθιῶ* (σπανιώτ. Ξενοφ. Παιδ. Γ, γ', 53), ἀόρ. *εἴθισα* (ἐνίοτε· καὶ προς- συν-), παρακ. *εἴθικα* (σπαν. Πλάτ. Μέν. 70, ϐ'. Ξενοφ. 'Ελλ. ϛ', α', 15), ὑπερσ. ἐλλείπει. Μέσ. καὶ παθ. *ἐθίζομαι* (ἐνίοτε. καὶ συν-, προς-), παρατατ. καὶ μέλλ. ἐλλείπουσιν, ἀόρ. παθ. ὡς μέσ. καὶ παθ. *εἰθίσθην* (πολλάκ. καὶ συν-), παρακ. μέσ. καὶ παθ. *εἴθισμαι* (πλειστάκ. καὶ συν-, προ-), ὑπερσ. μέσ. *εἰθίσμην* (ἐνίοτε) καὶ *εἰθισμένος ἦν* (σπαν. Λυσί. 27, 16. Cobet), καὶ παθητ. *συνειθισμένον ἦν* (σπαν. Λυσί. 1, 10). 'Ρημ. ἐπίθ. *ἐθιστέον* (Ξενοφ. 'Απομ. Β', α', 28. 'Ισο. 9, 7), *συνεθιστέον* (Πλάτ. Πολ. 520, γ'.). Τὸ μέσ. αὐτόπαθ. καὶ κατ' ἀνάλυσιν *ἐθίζω ἐμαυτὸν* (Ξενοφ. 'Ιππικ. θ', 9. 'Ισοκρ. 1, 15. 2, 29. 5, 18. κτλ).

ΣΗΜ. 'Ρίζ. σFεθ-, σανσ. svadhâ (θέλησις, ἰσχύς, ἔθος) = sva-dha = 'Ελλ. ἑ, λατ. se (ἑαυτόν) καὶ dha (= ἑλλ. θε, τιθέναι ἢ μᾶλλον θεῖναι, ποιεῖν) = ἑαυτὸν διατιθέναι, καθ' ἑαυτὸν ἢ κατ' ἰδίαν θέλησιν ποιεῖν, ὡς ὄντως εἶναι τὸ ἦθος, παρατ. εἴθιζον [=ἐ-σFέθιζον, ἐ-έθιζον], εὐέθωκα ('Ησύχ.) = εἴωθα, ἦθος, ἔθος, ἠθεῖος (οἰκεῖος, θεῖος), ἐθίζω, λατ. sue-sco, suê-tus, consûe-tû-do. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Πυθαγόρᾳ (Χρυσ. Ἔπ. 35). 'Ρημ. παράγ. ἔθισμα (Πλάτ. Νόμ. 793, δ'.), ἐθισμός (μτγ.), ἐθιστός (μτγ.).

[ἔθω]. Ποιητικόν, παρὰ δὲ τοῖς 'Ατ-

τικοῖς πεζολόγοις μόνον ὁ παρακ. *εἴωθα* (πλειστάκ. = εἴθισμαι), ὑποτ. *εἰώθω* (Θουκ. Δ', 98 κατὰ διόρθ. Badham) καὶ ὑπερσ. *εἰώθειν* (=εἰθισμην) (πλειστάκ.) καὶ *εἰωθὼς ἦν* (σπαν. Ἰσοκρ. 9, 51).

ΣΗΜ. Ῥίζ. σ F ε θ- (ὅρα ἐθίζω), σ F η θ- [ἔ-σFηθα], εἴFωθα, ὡς ῥηγ- ἔρρωγα (πρβλ βῆ-μα, βωμός, ῥῆγμα, ῥωγμή, ῥωγμός, ἀρή-γ-ω, ἀρωγός, ἀρωγή). Τὸ ἔθω καὶ εἴωθα κατὰ πρῶτον παρ' Ὁμήρῳ.

εἰδωλοποιέω-ῶ (ποιῶ εἴδωλα). Μόνον ἡ μετοχὴ *εἰδωλοποιῶν* (σπαν. Πλάτ. Πολιτ. 605, γ'.). Λέγεται καὶ *εἴδωλον ποιῶ* (Πλάτ. Πολ. 599, α'. ἀπὸ Ὁμήρου ἤδη Ὀδ. δ, 796.) καὶ *ἀπεργάζομαι* (Ξεν. Ἀπομ. Α', δ', 4).

ΣΗΜ. Εἰδωλοποιός, εἰδωλοποιία, εἰδωλοποιικός, εἰδωλοποίησις (μτγ.). Τὸ εἰδωλοποιῶ κατὰ πρῶτον παρὰ Πλάτωνι.

ὀδυνῶμαι (ἔχω ὀδύνην) ἀποθετ. Μόνον ὁ ἐνεστὼς (ἐνίοτε) καὶ ὁ παρατ. *ὠδυνώμην* (σπαν. Αἰσχίν. 1, 58), τὰ δὲ ἄλλα ποιητικὰ καὶ μεταγενέστερα. Ἀντὶ τοῦ *ὀδυνῶμαι* λέγεται καὶ *ὀδύναις ξυνέχομαι* (Πλάτ. Πολ. 574, α'.), *ὀδύνη λαμβάνει με* (Ξενοφ. Συμπ. α', 15), ὡς μεταβατ. δὲ εἶναι τὸ *ὀδύνας παρέχω τινὶ* (Πλάτ. Πρωταγ. 354, 6'.), *ὀδύναις δίδωμί τινα* (Πλάτ. Φαῖδρ. 254, ε'.).

ΣΗΜ. Παρὰ ποιηταῖς ἀπαντᾷ καὶ ἀορ. παθ. ὡς μέσ. ὠδυνήθην (Ἀρφ. Ἀχ. 3. 9. Βατρ. 650. Σφ. 283. Εὐρ. Κύκλ. 661) καὶ παρακ. (Σοφ. Ἠλ. 804), ἀλλὰ καὶ ἐνεργ. ὀδυνάω (προξενῶ ὀδύνην) καὶ παρὰ μεταγ. μέσ. μέλλ. καὶ παθ. Ῥίζ. δυ-, δυάω (ποιητ. κακῶ, βασανίζω) συγγενὲς τῷ σανσ. du-nômi (= ἄγχω), δυερός, Καν-δαύλης, καὶ μετὰ ο προτακτικοῦ ὀ-δυ-νάω = λατ. doleo, ὀ-δύ-ρομαι (θρηνῶ), ὀ-δύσ-σομαι (ὀργίζομαι ἀντὶ ὀδύσ-jομαι) = σανσ. dvêsh-mi (μισῶ), λατ. odi, ὀδύνη, ὀδυρμός, καὶ ὀδύρομαι (ποιητ.). Πιθανῶς καὶ ὠδίς-ῖνος (πό-

νος τοκετοῦ), ὠδίνω (γεννῶ). Πρβλ. δ έ ω-ῶ (=δένω). Ὁ Μαυροφρύδης ἐκ ῥίζ. ἐ δ- (ἐσθί-ειν), ἐδύνη (αἰολ.), ὀδ-ύνη=ἔδουσα (Δοκίμ. Ἑλλ. Γλ. 400. 408). Τὸ ὀ δ υ ν ῶ μ α ι κατὰ πρῶτον παρὰ Σοφοκλεῖ, παρ' Ὁμήρῳ δὲ μόνον ὀ δ ύ ν η.

ὀδύρομαι (θρηνῶ) ἀποθετ. (πλειστάκ. καὶ κατ- ψ. Πλάτ. Ἀξίοχ. 367, δ'.), παρατ. *ὠδυρόμην* (σπαν. Δημ. 53, 7. 58, 2. καὶ (δι-) Δημ. 53, 7 καὶ 18, 111 κατὰ Cobet), μέλλ. *ὀδυροῦμαι* (ἐνίοτε), ἀορ. μέσ. *ὠδυράμην* (ἐνίοτε· καὶ ἀν-, ἀπ-, κατ-), τὰ δὲ λοιπὰ ἐλλείπουσιν.

ΣΗΜ. Ὀδύρομαι, ὀδυρμὸς (Ἀττικ.), ὀδυρτὸς (ποιητ. Ἀρφ. Ἀχ. 1226). Ὅρα ὀ δ υ ν ῶ μ α ι. Τὸ ὀ δ ύ ρ ο μ α ι κατὰ πρῶτον παρ' Ὁμήρῳ.

ὄζω (καθολικῶς ἐπὶ εὐαρέστου καὶ δυσαρέστου ὀσμῆς, *μυρίζω* κοινῶς). Μόνον ὁ ἐνεστὼς (πολλάκ.), τὰ δὲ ἄλλα ποιητικὰ καὶ μεταγενέστερα.

ΣΗΜ. Ῥίζ. ὀ δ-, ὀδμὴ (ποιητ.), ὀσμή, εὐ-ώδης, δυς-ώδης, εὔοσμος (μτγ.), ὄζω [=ὄδ-jω]=λατ. ol-eo. od or (ὀσμή). Ἄλλως ὁ Ι. Οἰκονομίδης (Φιλολ. Ὑποτυπ. Θερειαν. σ. 326) ἐτυμολογεῖ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ, ἐκ δὲ τῶν Ἀττικῶν πεζολόγων εὕρηται παρὰ Ξενοφῶντι (ἐνίοτε) καὶ ἅπαξ παρὰ Λυσίᾳ (6 2) καὶ Πλάτωνι (Ἱππ Μ. 299, α'.). Παρατ. ὦ ζ ο ν (Κράτ. παρ' Ἀθην. ΙΕ', § 42. Κωμ. Ἀποσπ. 2, 234), π ρ ο σ ῶ ζ ο ν (Φιλήμ. παρ' Ἀθην. Δ', § 10), μέλλ. ὀ ζ ή σ ω (Ἀριστοφ. Σφῆκ. 1059., ὁ δὲ ὀ ζ έ σ ω ἀδόκιμος ψ. Ἱπποκρ. 8, 424. καὶ ἐ π ο ζ έ σ ω Μωϋσ. Ἔξοδ. ζ', 18), ἀόρ. ὤζησα (Ἀριστοφ. Ἀποσπ. 538., ὁ ὦ ζ ε σ α δὲ παρὰ ψ. Ἱπποκρ. 1, 468. καὶ ἐ π ώ ζ ε σ α Μωϋσ. Ἔξοδ. ζ', 21), παρακ. β' ὄ δ ω δ α (Ἀθήν. Γ', § 21. Ε', σ. 194, β'. κτλ.), ὑπερσ. ὀ δ ώ δ ε ι (Ὀδ. Ε, 60. Ι, 210. καὶ μτγ.).

οἴγω. Ἁπλοῦν ποιητικόν, πεζολογικὸν δὲ πάντοτε σύνθετον *ἀνοίγω* (ἐνίοτε· καὶ διαν-, ὑπαν-, καὶ συν- C I A. Α', 32, α, 17. 420 π. Χ.) καὶ *ἀνοίγνυμι* (σπαν. Λυσί. 12, 10. Ἀποσπ. 32. Δημ. 24, 209), παρατ. *ἀνέῳγον* (σπαν. Ξεν. Ἀναβ. Ε', ε', 20 καὶ (ὑπαν-) Δημ. 32, 27), μέλλ. *ἀνοίξω* (σπαν. Ξενοφ. Ἀνάβ. Ζ', α', 16), ἀόρ. *ἀνέῳξα* (πλειστάκ. καὶ (παραν-) Δημ. 25, 28.), παρακ. *ἀνέῳχα* (σπαν. Δημ. 42, 30), ὑπερσ. ἐλλείπει. Παθ. *ἀνοίγομαι* (ἐνίοτε) καὶ *ἀνοίγνυμαι* (Corp. Ins. Attic. Τόμ. Β', 1054, 89. 347 π. Χ. καὶ ποιητ. Ἀττικ.) καὶ *διοίγομαι* (σπαν. Πλάτ. Συμπ. 221, ε'. 222, α'.), παρατ. *ἀνεῳγόμην* (σπαν. Θουκ. Δ', 111 Ξεν. Ἑλλ Ϛ', δ', 7. Πλάτ. Φαίδ. 59, δ'.), μετ' ὀλ. μέλ. ὡς παθ. *ἀνεῴξομαι* (σπαν. Ξενοφ. Ἑλλ. Ε', α', 14), ἀόρ. παθ. *ἀνεῴχθην* (πολλάκ.) καὶ *διοιχθεὶς* (σπαν. Πλάτ. Συμπ. 215, β'.), παθ. παρακ. *ἀνέῳγμαι* (πολλάκ.), ὑπερσ. *ἀνεῴγμην* (σπαν. Ξεν. Ἑλλ. Ε', α', 14. Παιδ. Ζ', δ', 6), [μέσ. μέλλ ὡς παθ. *ἀνοίξομαι* Corp. Ins. Att. Τ. Β'. 1054, 25. 347 π. Χ.)].

ΣΜΜ. Τὸ τοῦ Ξενοφῶντος ἤ ν ο ι γ ο ν (Ἑλλην. Α', α', 2. ϛ', 21) καὶ ἤ ν ο ι ξ α (Ξεν. Ἑλλ. Α', ε', 13) μεταγραπτέα κατὰ Κόντον εἰς ἤ ν υ τ ο ν καὶ ἤ ν υ σ α (Ὅρα Ἡμετ. Γραμμ. Παρατηρ. § 445 καὶ Ἡμετ. Πραγματ. ἐν Παρνασ. Τόμ. Γ', σ. 337-339). Ῥίζ. F ο ι γ -, ἔFοιγον ἔῳγον, ἀνοίγω, ἀνοικτὸς (μεταγεν.), ἀνοικτέον (ποιητ.), ἄνοιγμα (μτγ.), ἄνοιξις (Ἀττικ.). Περὶ τοῦ ο ἴ γ ω ὅρα Ι. Οἰκονομ. Φιλολ. Ὑποτυπ. σ. 355. Παρὰ μεταγεν. καὶ παρακ. ἀ ν έ ῳ γ α καὶ ὑπερσ. ἀ ν ε ῴ γ ε ι ν (Κόντ. Λόγ. Ἑρμ. Τ. Α'. σ. 624—629) = ἀνέῳγμαι, ἀνεῴγμην, παρ' οἷς καὶ μέλλ. ἀ ν ο ι γ ή σ ο μ α ι (Εὐαγγ. Ματθ.

ζ', 7. 8. κτλ.) καὶ ἀόρ. ἠ ν ο ί γ η ν (Ἀποκάλυψ. ια', 19. ιε', 5. κτλ.) καὶ ἠ ν ο ί χ θ η ν (Πράξ. Ἀποστ. ιϛ', 10. κτλ.), οὗτινος εὕρηται καὶ βάρβαρον ἀπαρέμ. ἀ ν ε ῳ χ θ ῆ ν α ι (Λουκᾶς γ', 21) καὶ παρακ. ἤ ν ο ι γ μ α ι (Ἀρριαν. Ἐπικτ. Α', θ', 20. κτλ.) Τὸ ο ἴ γ ω καὶ ἀ ν ο ί γ ω κατὰ πρῶτον παρ' Ὁμήρῳ.

οἶδα (γνωρίζω) (πλειστάκ. καὶ συν-, προ-, δι-, προς-(1), κατ-), *οἶσθα*, *οἶδε*, *ἴσμεν* (καὶ ἐνίοτε *οἴδαμεν*, ὅπερ εἶναι ἀμφίβολον παρ' Ἀττικοῖς), *ἴστε*, *ἴσασι* [καὶ *συνοίδασι* Λυσί. 11, 1., ὅπερ ὁ Cobet γράφει *συνίσασι*], *ἴστον* *ἴστον*, ὑποτ. *εἰδῶ*, κτλ., προστ. *ἴσθι*, *ἴστω*, κτλ., ἀπαρ. *εἰδέναι*, μετ. *εἰδώς*, *-υῖα*, *-ός*. Ὑπερσ. *ᾔδη* (καὶ συν-) καὶ *ᾔδειν* (καὶ συν-, προ-), *ᾔδεις* (καὶ προ-, συν-) καὶ *ᾔδησθα* καὶ *ᾔδεισθα*, *ᾔδη* καὶ συνήθ. *ᾔδει* ἢ *ᾔδειν* (καὶ συν-, προ-), *ᾔδειμεν* (καὶ σπαν. *ᾖσμεν* (2)), *ᾔδειτε* (καὶ συν-) καὶ σπαν. *ᾖστε* (2) καὶ *συνῇστε*, *ᾔδεσαν* (καὶ συν-, προ-) καὶ *ᾖσαν* (2), εὐκτ. *εἰδείην*, *-ης*, *-η* (καὶ συν-), *εἰδείημεν* καὶ *εἰδεῖμεν*, *εἰδείητε*, *εἰδείησαν* (καὶ συν-) καὶ *εἰδεῖεν*. Μέσ. μέλ. ὡς ἐνεργ. *εἴσομαι* (πλειστ. καὶ συν-) [καὶ εἰδήσω Ἰωνικ. καὶ Ἰσοκρ. 1, 44. καὶ (συν-) 16. ψ. Αἰσχίν. Ἐπιστ. ια', 8], ῥημ. ἐπίθ. *ἰστέον* (Πλάτ. Συμπ. 217, γ'. Θεαίτ. 202, ε'). Τὸ μέσον ἀναλελυμένον *οἶδα ἐμαυτὸν* καὶ *πρόοιδα ἐμαυτόν*.

ΣΗΜ. Ὁ ο ἶ δ α εἶναι β' παρακ. εἰς σημ. ἐνεστ. μεταπεσών. Τὸ ο ἴ δ α μ ε ν φέρεται ἐν Ἀντιφῶντ. 2, α', 3. ἐν μαρτυρ. Δημ. 21, 82. 93. 121. Πλάτ. Ἀλκ. Β', 145, δ'., τὸ δὲ ἐν 142 α' ὁ Cobet γράφει ε ἴ δ ο μ ε ν. Ῥίζ. F ι δ-, λατ. video, σανσ. ved-mi, βίδεοι ἢ βίδυοι (οἱ ἐν Σπάρτῃ ἄρχοντες), ἵστορες (ποιητ.), ἱστορία (γνῶσις παρελθόντων), εἰδήμων (μτγ.), εἴδησις (μτγ.), εἰδῶ [= Fε-Fιδέω], εἰδέναι [= Fε-Fιδ έναι], εἰδώς [= Fε-Fιδώς], οἶσθα = οἶδ-θα (= σανσ. vêt-tha), πρβλ. ἦσ-θα. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ. Τὸ ο ἶ δ α διαφέρει τοῦ σ ύ ν ο ι δ α· διότι τὸ μὲν ο ἶ δ α = γινώσκω τι ἐξ ἀκοῆς ἢ ἐκ πληροφορίας ἄλλων, τὸ δὲ σ ύ ν ο ι δ α = γινώσκω τι ἐξ ἰδίας ἀντιλήψεως, αὐτόπτης καὶ αὐτήκοος αὐτοῦ γενόμενος. Τοῦτο φαίνεται ἐκ τοῦ Δημοσθένους λέγοντος ὧδε. «Τ ὰ μ ὲ ν ἄ λ λ' ἔ γ ω γ ε ο ὐ κ ο ἶ δ α ο ὐ δ ὲ λ έ γ ω φ λ α ῦ ρ ο ν ο ὐ δ ὲ ν ο ὐ δ ὲ σ ύ ν ο ι δ α» (Δημοσθ. 20, 13).

οἰδέω-ῶ (πρήσκομαι) (σπανίως. Πλάτ. Γοργ. 518, ε'.), παρατ. *ᾤδουν* (σπαν. ψ. Αἰσχίν. Ἐπιστ. Α', 2) καὶ ἀόρ. *ᾤδησα* (σπαν. Πλάτ. Φαῖδρ. 251, β'. καὶ (ἀν-) Τίμ. 84, ε'.), τὰ δὲ ἄλλα ποιητ. καὶ μεταγενέστερα.

ΣΗΜ. Ῥίζ. Ο ἰ δ-, οἶδ-ος (ὄγκος), οἶδ-νον καὶ ὕδνον (βολβός τις ἐδώδιμος), οἶδ-μα (ποιητ. φούσκωμα), οἰδέω (λατ. tumeo), Οἰδ-ί-πους, οἴδησις (Ἀττικ.), οἴδημα (μτγ.), οἰδάνω (ποιητ.), οἰδαίνω καὶ οἰδάω (μτγ.). Ὅρα

---

(1) Πλάτ. Ἀπολογ. 20, α'., ὃ ὅμως ὁ Cobet γράφει «*πρὸς εἰδέναι*» Πρβλ. Πλάτ. Θεάγ. 128 α'.

(2) *ᾖσμεν* (Αἰσχύλ Ἀγαμ. 1099. Εὐρ. Ἑκ. 1112. Ἀριστοφ. παρ' Ἀθην. ΙΒ', § 75. Ἀντιφῶντ. Ἀποσπ. 7, 19), *ᾖστε* (Σοφοκλ. Ἀποσ. 317. Δημ. 49, 46), *συνῇστε* (Αἰσχίν. 1, 116), *ᾖσαν* (Αἰσχύλ. Προμ. 451. Εὐριπ. Κυκλ. 231. Ῥῆσ. 855). Οὗτοι μόνον οἱ τύποι φέρονται τοιοῦτοι ἐν τοῖς συγγράμμασιν ὅπως νῦν ἔχουσι, πάντοτε δ' ἀντ' αὐτῶν φέρονται *ᾔδειμεν*, *ᾔδειτε* (καὶ συν-), *ᾔδεσαν* (καὶ συν-), σπανίως δὲ *ᾔδεμεν* (Σοφοκλ. Οἰδ. Τ. 1232., ὅπερ γραπτέον εἰς *ᾖσμεν*, ὡς τὸ μέτρον ἀπαιτεῖ) καὶ *ᾔδετε* (Εὐριπ. Βακχ. 1345, ὅπερ γραπτέον εἰς *ᾖστε*, ὡς τὸ μέτρον ἀπαιτεῖ). Ἀλλ' ὁ Cobet ὡς Ἀττικοὺς τύπους νομίζει μόνον τὸν *ᾖσμέν* *ᾖστε*, *ᾖσαν* (Var Lect. σελ. 382—383. 492).

Cobet, Var. Lect. σελ. 25. Τὸ οἰδέω-ῶ κατὰ πρῶτον παρ' Ὁμήρῳ, παρ' ᾧ καὶ οἰδάνω.

οἰκειόω-ῶ (κάμνω τινὰ οἰκεῖον ἀντίθ. τὸ *ἀλλοτριῶ*) Μόνον ὁ ἐνεστὼς (σπαν. Θουκ. Γ', 65) καὶ ἀόρ. *ᾠκείωσα* (σπαν. Ἰσοκρ. 15, 11). Μέσ. *οἰκειοῦμαι* (ἐνίοτε), ἀορ. μέσ. *οἰκειώσασθαι* (σπαν. Δημ. 7, 15) καὶ *οἰκειωσάμενος* (σπαν. ψ. Πλάτ. Τίμ. 45, γ'.) καὶ *εἰςῳκειώθην* (σπαν. Ξενοφ. Ἑλλ. Ε', β', 25), παρακ. μεσ. *ᾠκειῶσθαι* (σπαν. Πλάτ. Παρμεν. 128, α'.). Λέγεται καὶ *οἰκείωσιν ποιοῦμαι* (=οἰκειοῦμαι Θουκ. Δ', 128).

ΣΗΜ. Οἶκος, οἰκεῖος, οἰκειῶ, οἰκείωσις οἰκείωμα (μτγ.). Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ἡροδότῳ.

οἰκέω-ῶ (κατοικῶ, κυβερνῶ, ἐπὶ δὲ πόλεως = κυβερνῶμαι) (πλειστάκ. καὶ κατ-, ἀπ-, ἐπ-, ἐν-, μετ-, παρ-, προς-, περι-, συν-), παρατ. *ᾤκουν* (πλειστάκ. καὶ κατ-, μετ-, συν-), μέλ. *οἰκήσω* (πλειστάκ. καὶ ἐν-, ἐγκατ-, συν-), ἀόρ. *ᾤκησα* (πλειστάκ. καὶ κατ-, μετ-, ἀπ-, ἐπ-, ἐξ-, συν-, προςξυν-), παρακ. [ἁπλοῦς ποιητ.] *κατῴκηκα* (Πλάτ. Νόμ. 666, ε'.), *ἀπῴκηκα* (Πλάτ. Νόμ. 708, α'.), *ἐξῴκηκα* (Δημ. 29, 3), *συνῴκηκα* (Ἀνδοκ. 1, 129. Πλάτ. Πολ. 577, α'.) καὶ *διῴκηκα* (ὅρα *διοικῶ*), ὑπερσ. μόνον *κατῳκήκειν* (σπαν. Πλάτ. Κριτί. 112, β'.). Παθ. *οἰκοῦμαι* (πλειστάκ. καὶ κατ-, συν-), παρατ. *ᾠκούμην* (ἐνίοτε· καὶ ἐπ-, συν-), μέλ. μέσ. ὡς παθ. *οἰκήσομαι* (ἐνίοτε), ἀόρ. παθ. *ᾠκήθην* (σπαν. Ξενοφ. Ἀπομ. Δ', δ', 16. Δημ. 9, 26. καὶ (ἐξ-) Θουκ. Β', 17), παρακ. μέσ. καὶ παθ. *κατῴκημαι* (σπαν. Θουκ. Α', 120. Β', 99), ὑπερσ. μέσ. καὶ παθ *κατῳκήμην* (σπαν. Θουκ. Β', 96. Γ', 34. Ε', 83). Ῥημ. ἐπ. *ἀοίκητος* (ἐνίοτε), *δυςοίκητος* (Ξεν. Παιδ. Η', ς', 21) Περὶ δὲ τοῦ *διοικῶ* ὅρα ἐν λέξει. Λέγεται καὶ *οἴκησιν ποιοῦμαι* (Ἡροδ. Γ', 102), ὡς μεταβ. δὲ οἴκησιν παρέχω (Αἰσχίν. 1, 13) καὶ *νέμω* (Πλάτ. Πρωτ. 320, ε'.), *συνοίκησιν ποιοῦμαι* (Πλάτ. Νόμ. 930, α'.) καὶ παθ *ἐξοίκησις γίγνεται* (Πλάτ. Νόμ. 704. γ'.).

ΣΗΜ. Οἶκος, οἰκῶ, οἴκημα (Ἀττικ.), οἴκησις (Ἀττικ.). οἰκητής (ποιητ.), οἰκήτωρ (ποιητ.), οἰκήσιμος (μτγ.), οἰκητήριον (μτγ.). Περὶ ῥίζης ὅρα ἰχνοῦμαι. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ. Τὸ δὲ οἰκῶ καὶ κατοικῶ οὐδὲν ἀλλήλων διαφέρουσιν, ὡς τὸ εὕδω καὶ καθεύδω, ἐν ἑκάστῳ δὲ τῶν ἄλλων συνθέτων ἡ πρόθεσις διασῴζει τὴν σημασίαν αὐτῆς. Ῥημ. παράγ. Ἀττικὰ εἶναι καὶ ἐνοίκησις, ἐξοίκησις, κατοίκησις, μετοίκησις, παροίκησις, συνοίκησις. Οἰκῶ μὲν= κατοικῶ ἐγώ, οἰκίζω δὲ=βάλλω ἄλλον νὰ κατοικήσῃ. «Οἰκῶ οὐ μόνον τὸ κατοικῶ, οἷον οἰκῶ τόνδε τὸν τόπον ἢ τήνδε τὴν οἰκίαν, ἤγουν ἐν αὐτοῖς κατοικῶ, ἀλλὰ καὶ τὸ ὡσανεὶ διοικῶ. Αἰσχίνης [1, 30] «τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν». Οἰκίζω δὲ τόπον τὸ οἰκεῖσθαι ποιῶ καὶ οἰκίζω τινὰ ἐν αὐτῷ. Καὶ οἰκεῖται τόπος, ἤγουν κατοικεῖται, οἰκίζεται δὲ ἤγουν εἰς κατοίκησιν ἐνεργεῖται καὶ κατασκευάζεται» (Θωμ. Μάγιστρ. 645, 7). Τὸ δὲ οἰκῶ ἀμεταβ. κείμενον ἐπὶ πόλεως = διοικοῦμαι, κυβερνῶμαι, ὡς πῶς ποτ' ἂν πόλις ἄριστα οἰκοίη (Πλάτ. Νόμ. 702, α'. πρβλ. Ξεν. Παιδ. Η', α', 2. καὶ Θουκ. Β', 37. Πλάτ. Πολ. 423, α'. Ξεν Ἑλλ. Ζ', α', 3. Δημ.

20, 49. κτλ.) καὶ μεταβατ. ὡς εὖ οἰκῶ πόλιν, οἶκον, κτλ.=διοικῶ κυβερνῶ (πρβλ. Θουκ. Γ', 37. Πλάτ. Μέν. 71, ε'. Ξεν. Οἰκον. α', 2. 3. κτλ.) καὶ παθ. ἄριστα ἡ πόλις οἰκεῖται (=κυβερνᾶται. Θουκ. Η', 67. Πλάτ. Λάχ. 185, α'. Νόμ. 713, β'. κτλ.). Οἴκημα δὲ=καὶ δεσμωτήριον καὶ πορνεῖον καὶ ταμεῖον καὶ ἁπλῶς τὸ οἰκήσιμον (ὅρα Πολυδ. Θ', 45—46).

οἰκίζω (βάλλω τινὰ νὰ οἰκήσῃ) (πολλάκ. καὶ κατ-, ἀπ-, συν-, συγκατ-, παρακατ-), παρατ. *ᾤκιζον* (ἐνίοτε· καὶ κατ- μετ- (1)), μέλ. *οἰκιῶ* (σπαν. ἁπλοῦς. Θουκ. Α', 100. Ϛ', 23. καὶ κατ-, δι-), ἀόρ. *ᾤκισα* (πολλάκ. καὶ κατ-, ἀπ-, συν-, ἐξ-, ἐν-, δι-. μετ- (2), συγκατ-). παρακ καὶ ὑπερσ. ἐλλείπουσιν. Παθ. καὶ μέσ. *οἰκίζομαι* (ἐνίοτε· καὶ κατ-, συν-, ἀν-, εἰς-), παρατ. σύνθετος παθ. καὶ μέσ *κατῳκιζόμην* (Θουκ. Α', 12), *ἀνῳκιζόμην* (Θουκ. Α', 58) καὶ *ἐξῳκιζόμην* (Λυσί. 32, 14. Cobet), παθ. μέλ. *οἰκισθήσομαι* (Δημ. 5, 10, καὶ (κατ-) Θουκ. Β', 17.), μέσ. μέλλ. *οἰκιοῦμαι* (Ξενοφ. Ἑλλ. Α', ς', 32. Cobet), *διοικιοῦμαι* (σπαν. Ξενοφ. Ἑλλ. Ε', β', 5), ἀόρ. μέσ. *κατῳκισάμην* (σπαν. Θουκ. Β', 102. Ἰσο. 19, 23. 24), *ἐνῳκισάμην* (σπαν. Θουκ. Ϛ', 2), *εἰςῳκισάμην* (σπαν. Πλάτ. Πολ. 424, δ'. Αἰσχίν. 1, 124), *ἀνῳκισάμην* (σπαν. Θουκ. Α', 58), *μετῳκισάμην* (Ἰσοκρ. 19, 23. 24. Naber), *παρακατῳκισάμην* (σπαν. Ἰσοκρ 6, 87) καὶ *ἐξῳκισάμην* (σπαν Αἰσχίν. 1, 124), ἀόρ. παθ. *ᾠκίσθην* (πλειστάκ καὶ κατ- (σπαν. καὶ μέσ.), ἀπ-, συν-, δι-, ἐξ-Γοργ. Ἑλέν. 16), παρακ. μέσ. καὶ παθ. *ᾤκισμαι* (ἐνίοτε· καὶ κατ-, ἀπ-, συν-, δι- ἀν-), ὑπερσ. μέσ, *κατῳκίσμην* (σπαν. Πλάτ. Κριτί. 113, δ'). Λέγεται καὶ *οἰκιστήν τινα ποιοῦμαι* (Θουκ. Ϛ', 3) καὶ *οἰκιστὴς γίγνομαι* (Θουκ. Α', 4. Ἰσοκρ. 4, 61) καὶ *εἰμι* (Πλάτ. Πολ. 379, α'.).

ΣΗΜ. Οἰκίζω, οἰκιστής, οἰκισμός, οἴκισις, κατοίκισις, κατοικισμός, διοίκισις, ἐξοικιστέον (μτγ.), μετοίκισις, ἐξοίκισις. Ὅρα καθόλου Cobet Nov. Lect. 287—291. Ὅρα οἰκέω περὶ τῆς ῥίζης. Τὸ οἰκίζω κατὰ πρῶτον παρὰ Πινδάρῳ. Ὅρα Πολυδ. Θ', 6.

οἰκοδομέω-ῶ (κτίζω οἶκον, κτίζω) (πλειστάκ. καὶ κατ-, περι-, ἀπ-, δι-), παρατ. *ᾠκοδόμουν* (πολλάκ. καὶ ἐπ-, προς-), μέλλ. *οἰκοδομήσω* (Ἀττικ. Ἐπιγρ.), *ἀνοικοδομήσω* (σπαν. Λυκοῦργ. 81), *ἐξοικοδομήσω* (Corp I. Att. Τ. Β'. 167, 48. 588, 10. κτλ), *ὑποικοδομήσω* (αὐτ. 167, 114) καὶ *ἐγκατοικοδομήσω* (αὐτόθ.), ἀόρ. *ᾠκοδόμησα* (πλειστ. καὶ ἐν-, ἀν-, ἐπ-, ἀπ-, δι-, παρ-, κατ-, περι-, ἐγκατ-), παρακ. *ᾠκοδόμηκα* (σπαν. Πλάτ. Γοργ. 514, β'. Δημ. 21, 158. καὶ (παρ-) Θουκ. Ζ', 11), ὑπερσ. ἐλλείπει. Παθ. καὶ μέσ. *οἰκοδομοῦμαι* (ἐνίοτε· καὶ παρ-, ἀπ-). παρατ. παθ. καὶ μέσ. *ᾠκοδομούμην* (σπαν. Θουκ. Γ', 19. Πλάτ. Κριτί. 112, γ'.), μέλ. παθ. *οἰκοδομηθήσομαι* (σπαν. Λυσί. 12, 63), ἀόρ μέσ. *ᾠκοδομησάμην* (ἐνίοτε· καὶ ἐν-), ἀόρ. παθ. *ᾠκοδομήθην* (ἐνίοτε· καὶ περι-, ἀν-, ἀπ-), παρακ. παθ *ᾠκοδόμημαι* (ἐνίοτε· καὶ ἐν-, ξυν-, παρ-, περι-) καὶ *ἐγκατῳκοδόμηται* (Θουκ. Γ', 18, ὃ ὁ Cobet

(1) Ἰσοκρ. 12, 166 κατὰ Naber.
(2) Ἰσοκρ. 12, 43. 94. κατὰ Naber.

γράφει εἰς ὑπερσυντέλ.), ὑπερσ. παθ. *ᾠκοδομήμην* (ἐνίοτε· καὶ ἐπ-) καὶ *ᾠκοδομημένον ἦν* (σπαν. Ξενοφ. Ἀνάϐ. Β', δ', 12). Ῥημ. ἐπίθ. *οἰκοδομητέον* (Πλάτ. Πολ. 424, δ'.). Λέγεται καὶ *οἰκοδομία γίγνεται* (Θουκ. Α', 93).

ΣΗΜ. Οἰκοδόμος, οἰκοδομῶ, οἰκοδομὴ (μτγ.), οἰκοδόμημα, οἰκοδόμησις, οἰκοδομία, οἰκοδομητικὸς (μτγ.). Ὅρα δέμω, Τὸ οἰκοδομῶ κατὰ πρῶτον παρ' Ἡροδότῳ. «Οἰκοδομὴ οὐ λέγουσιν Ἀττικοί, ἀλλ' οἰκοδόμημα καὶ οἰκοδομία» (Θωμ. Μάγιστρ. σ. 649, 3. ὅρα καὶ Φρύνιχ. ἐν λέξ.).

οἰκονομέω-ῶ (κυϐερνῶ τὸν οἶκον) (ἐνίοτε) καὶ ἀόρ. *ᾠκονόμησα* (σπαν. Ξενοφ. Ἀπομ. Δ', ε', 10) καὶ παρακ. *ᾠκονόμηκα* (Corp. Ins. Attic. Τόμ. Β'. 329, 16. 444. 446, 17), τὰ δὲ ἄλλα ποιητ. καὶ μεταγενέστερα.

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Σοφοκλεῖ (Ἠλ. 190). Οἰκονόμος, οἰκονομῶ, οἰκονομία, οἰκονομητικὸς καὶ οἰκονομικός.

οἰκουρέω-ῶ (εἰμὶ οἰκουρός.). Μόνον ὁ ἐνεστὼς (σπαν. Πλάτ. Πολ. 451, δ'. Δημ. 59, 86), τὰ δὲ ἄλλα μεταγενέστερα. Λέγεται καὶ *οἰκουρός εἰμι* (Δείναρχ. 1, 82).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Αἰσχύλῳ (Ἀγ. 809). Οἰκουρὸς (Ἀττικ. ἐκ τοῦ οἶκος καὶ οὖρος ['Οδ. Ο, 89]=φύλαξ. ὅρα ὁρῶ), οἰκουρῶ, οἰκούρημα (ποιητ.), οἰκουρία (μτγ.).

οἰκοφθορέω-ῶ (τὸν οἶκον φθείρω, τὴν περιουσίαν) Μόνον ὁ ἐνεστὼς (σπαν. Πλάτ. Νόμ. 929, δ'. 959, γ'.), τὰ δ' ἄλλα παρ' Ἡροδότῳ καὶ μεταγενεστέροις. Λέγεται καὶ *οἰκοφθόρος εἰμί* (Πλάτ. Νόμ. 689, δ'.).

ΣΗΜ. Οἰκοφθόρος, οἰκοφθορῶ, οἰκοφθορία· Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ἡροδότῳ.

οἰκτείρω (εὐσπλαγχνίζομαι ἐλεῶ, ἔχω οἶκτον πρός τινα) (πλειστάκ. καὶ κατ-) καὶ *οἰκτῖρω* παρατ. *ᾤκτειρον* καὶ *ᾤκτῖρον* (σπαν. Ξενοφ. Ἀνάϐ. Α', δ', 7), ἀόρ. *ᾤκτειρα* καὶ *ᾤκτῖρα* (ἐνίοτε). Παθ. *οἰκτείρομαι* καὶ *οἰκτῖρομαι* (σπαν Ξενοφ. Οἰκον. ζ', 40), τὰ δὲ ἄλλα ποιητικὰ καὶ μεταγενέστερα.

ΣΗΜ. «Καὶ διὰ τοῦ Ι γράφεται καὶ διὰ τῆς ΕΙ διφθόγγου, Αἰολεῖς οἰκτίρρω» (Βεκκ. Ἀνέκδ. σ. 1404). Ὀρθοτέρα εἶναι ἡ διὰ τοῦ Ι γραφή, ὡς φαίνεται ἐκ τῶν παραγώγων οἰκτιρ-μός,-μων καὶ ἐξ ἐπιγραφῶν (Corp. Inscr. Attic. Τόμ. Α'. 463, 2. Δ', add 477, c.), οἶκτ-ος οἰκτ-ίζω, οἰκτιρ-μὸς (ποιητ. καὶ μεταγ.) οἰκτίρμων (ποιητ. καὶ μτγ.), οἰκτῖρω [=οἰκτίρ-jω, αἰολ. οἰκτίρρω], τὸ δ' οἰκτείρω ἔχει ἀντὶ τοῦ μακροῦ Ι τὸ ΕΙ (ὅρα φιλονικῶ), οἰκτρός, οἰκτισμὸς (ποιητ.), ἀνοικτίστως (Ἀντιφῶν 1, 25), οἰκτείρησις (μτγ.). Ὁ μέλλ. οἰκτερῶ (Σοφ. Φιλ. 1071. Αἰσχύλ. Ἀποσπ. 196) ἴσως δέον νὰ γραφῇ οἰκτῖρῶ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ.

οἰκτίζω (οἰκτ(ε)ίρω). Ποιητικόν, παρὰ δὲ τοῖς Ἀττικοῖς πεζολόγοις ἀπαντᾷ ὁ μέλλ. *ἀντοικτιῶν* (σπαν. Θουκ. Γ', 40), ἀόρ. *ᾤκτισα* (σπαν. Ξενοφ. Ἀπολ. 4. καὶ (συν-) Παιδ. Δ', ς', 5). Μέσ. *οἰκτίζομαι* (σπαν. Δείναρχ. 1, 110), παρατ. μέσ. *ᾠκτιζόμην* (σπαν. Θουκ. Β', 51). Ῥηματικ. ἐπιθέτ. ἐπίρρ. *ἀνοικτίστως* (Ἀντιφῶν 1, 25).

ΣΗΜ. Ὅρα οἰκτ(ε)ίρω. Τὸ οἰκτίζω κατὰ πρῶτον παρ' Αἰσχύλῳ, ὁημ. παράγωγ. οἴκτισμα (ποιητ.), οἰκτισμὸς (ποιητ.).

οἰμώζω (θρηνῶ, ὀδύρομαι). Ποιητικόν, παρὰ δὲ τοῖς Ἀττ. πεζολόγ. μόνον ὁ μέσ. μέλλ. ὡς ἐνεργ. *οἰμώξομαι* (σπαν. Ξενοφ. Ἑλλ. Β', γ', 56. Δημ. 35, 40) καὶ ὁ ἀόρ [ἁπλοῦς ποιητ.] *ἀνῴμωξα* (σπαν. Θουκ. Γ', 113) καὶ *ἀπῴμωξα* (σπαν. Ἀντιφῶν 5, 41).

ΣΗΜ. Οἴ-, οἴμοι, οἰμώζω, οἰμωγὴ (Ἀττικ.), οἴμωγμα (ποιητ.), οἰμωκτὸς (ποιητ.), ἀνοίμωκτος (ποιητ.). Τινὲς γράφουσιν οἰμῴζω, ὅπερ κατὰ πρῶτον παρ' Ὁμήρῳ.

οἰνοχοέω-ῶ (κερνῶ κρασί). Ποιητικὸν καὶ μεταγενέστερον, παρὰ δὲ τοῖς Ἀττικοῖς πεζολόγοις μόνον ὁ ἐνεστὼς (σπαν. Ξενοφ. Παιδ. Α', γ'. 8. 11) καὶ ὁ μέλλ. *οἰνοχοήσω* (σπαν. Ξενοφ. Παιδ. Α', γ', 9).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ. Ῥίζ. Fοιν-, οἶνος (=λατ. vīnum) καὶ χέω, οἴνη, οἰνὰς (κλῆμα, σταφυλή, οἶνος), οἴν-αρον, οἰν-άνθη (τὸ ἄνθος τῆς ἀμπέλο), οἰνίζω (ποιητ.), οἰνόω (μεθύσκω), οἰνοχόος (ποιητ. καὶ μτγ.), οἰνοχόη (Ἀττικ. φιάλη), τὸ δὲ οἰνοχοῶ καὶ οἰνοχοεύω κατὰ πρῶτον παρ' Ὁμήρῳ.

οἰνόω-ῶ (μεθύσκω τινὰ οἴνῳ). Παρὰ τοῖς Ἀττικοῖς πεζολόγοις μόνον ὁ μέσ. παρακ. *διῳνωμένος* (σπαν. Πλατ. Νόμ. 775, γ'), *κατῳνωμένος* (σπαν Πλάτ. Νόμ. 815, γ'. πρϐλ. καὶ Πολυδ. Ϛ', 21., ὅστις κακῶς ἀνέγνω ἄνευ αὐξήσεως ἢ ἀναδιπλώσεως), τὰ δὲ ἄλλα ποιητικὰ καὶ μεταγενέστερα.

ΣΗΜ. Ὁ ἐνεργ. σπάνιος οἰνῶσαι (Κριτί. παρ' Ἀθην. Ι', § 41), οἴνωσις (μτγ.). ὅρα οἰνοχοῶ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ.

οἴομαι (νομίζω) ἀποθετ. (πλειστάκ. καὶ συν-) καὶ *οἶμαι, οἴει, οἴεται*, κτλ. παρατ. *ᾠόμην* καὶ *ᾤμην, ᾤου, ᾤετο* κτλ. (πλειστάκ.), μέλλ. μέσ. *οἰήσομαι* (πλειστάκ.), ἀόρ. παθ. ὡς μέσ. *ᾠήθην* (πλειστάκ. καὶ συν-, ἀντ-), παρακ. καὶ ὑπερσ. ἐλλείπουσιν.

ΣΗΜ. Ῥίζα οἰ-, οἶος (μόνος), οἰ-νός, οἰ-νὴ (ἕν)=λατ. unus, οἰ-νίζω (μονάζω. Ἡσύχ.); οἰνῶντα (μονήρη), οἰῶντα (μονοῦντα), οἰώθη (Ἰλ. Ζ', 1. Λ, 401=ἐμονώθη), οἴ-ο-μαι, οἴησις, οἴημα (μτγ.), οἰηματίας (μτγ.). Ὁ Δινδόρφιος γράφει καὶ τοῦ παρατ. ᾤμεθα (Ξενοφ. Ἀνάϐ. Ϛ', γ', 25. 26), ὅπερ ὁ Cobet γράφει ᾠόμεθα ὁμαλῶς. Τὸ οἴομαι κατὰ πρῶτον παρ' Ὁμήρῳ, παρ' ᾧ καὶ ἐνεργ. οἴω, ὀΐω, τὸ δὲ οἶ-μαι, ᾦ-μην γίνεται κατὰ τὴν εἰς -μι συζυγίαν. Παρὰ Λυσίᾳ (13, 87) φέρεται «τοῦτο οἴεται» ὡς παθητ., περὶ οὗ ἰδὲ Ἡμ. Γραμμ. Παρατ. εἰς ἀρχ. Ἑλλ. § 164, σ. 152. Σφάλλεται Θωμᾶς ὁ Μάγιστρος λέγων ὧδε περὶ διαφορᾶς τοῦ οἴομαι καὶ οἶμαι. «Τὸ μὲν οἶμαι ἐπὶ ὁμολογουμένου τίθεται, τὸ δὲ οἴομαι ἐπὶ ἀμφιϐόλου» (σελ. 645, 15). Ὀρθότερον διδάσκει ὁ Μοῖρις. «τῷ οἶμαι καὶ οἴομαι ἀδιαφόρως χρῆσθαί φασι τοὺς Ἀττικούς, ἐφ' ὧν οἱ ἄλλοι Ἕλληνες χρῶνται τῷ νομίζω» (σελ. 284). Μόνη διαφορὰ εἶναι ὅτι τὸ οἶμαι κεῖται συνηθέστερον ἢ τὸ οἴομαι εἰς τὰς παρενθέσεις. Τὸ δὲ οἴομαι διαφέρει τοῦ ἡγοῦμαι κυρίως ὧδε· τὸ μὲν οἴομαι=ἔχω τὴν ἐμαυτοῦ γνώμην (Ἀτωπ. Περιοδ. Β', 791, § 42), κατ' ἐμαυτὸν νομίζω, κοινῶς τὸ λέγω μὲ τὸ κεφάλι μου, τὸ δὲ ἡγοῦμαι=ἰχνηλατῶ, ἀνερευνῶ, προπορεύομαι, ὁδηγῶ, λέγω μὲ τὸν νοῦν μου, νομίζω, ἅπασαι δ' αὗται αἱ σημασίαι προέκυψαν ἐκ τῆς πρώτης τοῦ νοεῖν, προλέγειν καὶ προηγεῖσθαι

(πρβλ. τὸ λατ. sâgus = μαντικός, προφητικός, sâgio = ὀξὺ αἰσθάνομαι, νοῶ, γερμ. sâgen=λέγειν, κελεύειν). Καθόλου δὲ εἰπεῖν τὸ οἴομαι, ἡγοῦμαι, νομίζω καὶ ὑπολαμβάνω ἐπὶ τῆς τοῦ δοξάζειν ἢ γνώμην ἔχειν σημασίας εἶναι συνώνυμα, μόνη δὲ διάκρισις ὑπάρχει ἐν τῇ χρήσει αὐτῶν· διότι λέγεται νομίζω θεοὺς καὶ ἡγοῦμαι θεούς, οὐχὶ δὲ καὶ οἴομαι θεοὺς καὶ ὑπολαμβάνω θεούς, προσέτι δὲ λέγεται μόνον περὶ πολλοῦ ἡγοῦμαι, οὐχὶ δὲ καὶ οἴομαι, νομίζω, ὑπολαμβάνω περὶ πολλοῦ.

οἰστράω-ῶ (κεντῶ, ἐρεθίζω τινά, κυρίως δὲ ἐπὶ οἴστρου, ἀμεταβ. δὲ= μανικῶς κινοῦμαι). Ποιητικὸν καὶ μεταγενέστερον, παρὰ δὲ τοῖς Ἀττικοῖς πεζολόγοις μόνον ὁ ἐνεστὼς (ἐνίοτε· Πλάτ. Φαῖδρ. 251, δ'. Θεαίτ. 179, ε'. Πολ. 573, β'. ε'.). Λέγεται καὶ *ὑπ' οἴστρου ἐλαύνομαι* (Πλάτ. Φαῖδρ. 240, δ'.), *οἶστρος κινεῖ με* (Πλάτ. Νόμ. 854, β'.).

ΣΗΜ. Οἰστράω-ῶ Ἀττικῶς, οἰστρέω-ῶ δὲ Ἰωνικῶς. Ῥίζα ἰ- (εἶμι, ὅπερ ὅρα) οἰστὸς (βέλος), οἶστρος (λατ. oestrus), οἰστρώδης (Ἀττικ.), οἰστράω-ῶ, οἰστρηλατῶ (μτγ.), οἰστρήλατος (ποιητ.), οἴστρημα (ποιητ.), οἴστρησις (μτγ.). «Οἰστρᾷ συντόνως καὶ μανικῶς κινεῖται» (Τίμ. Σοφ. ἐκ τῶν Πλάτ. λέξ.) Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Αἰσχύλῳ, ἐκ δὲ τῶν Ἀττικῶν πεζολόγων μόνον παρὰ Πλάτωνι ὑπάρχει.

οἴχομαι (ἀναχωρῶ, φεύγω) ἀποθετ. (πλειστάκ. καὶ παρ-, κατ-, δι-, ἐξ-), παρατ. *ᾠχόμην* (πλειστ καὶ προ-), μέλλ. μέσ. *οἰχήσομαι* (πολλάκ.), τὰ δὲ λοιπὰ ποιητικὰ καὶ μεταγενέστερα.

ΣΗΜ. Ὁ ἐνεστὼς ἔχει παρακειμ. σημασίαν. Ὁ παρακ. εἶναι μεταγενέστερος. Ῥίζα οἰ-, οἶ-μος, οἶ-τος, οἰ-στός, εἶτα οἰχ-, οἴχομαι, ῥημ. ἐπίθ. οἰχητέον (Ἀλκίφρ. 3, 42). Τὸ οἴχομαι κατὰ πρῶτον παρ' Ὁμήρῳ, παρ' ᾧ καὶ οἰχ-νέω. Ὅρα εἶμι.

οἰωνίζομαι (ἐκ σημείων εἰκάζω) ἀποθετ. Μόνον ὁ ἐνεστὼς (σπαν. Ξενοφ. Παιδ. Α', ς', 1), παρατ. *οἰωνιζόμην* (σπαν. Ξενοφ. Ἑλλ. Α', δ', 12. Ε', δ', 17), ἀόρ. μέσ. εὐκτ. *οἰωνίσαιτο* (σπαν. Δημ. 25, 80., ἀνθ' οὗ ὁ Herwerden προτείνει νὰ γραφῇ *ἀποιωνίσαιτο*), προστακτ. *μετοιωνίσασθε* (σπαν. Δείναρχ. 1. 29=μετάθεσθε τὸν φαῦλον οἰωνόν), ἀπαρεμφ. *μετοιωνίσασθαι* (σπαν. Δείναρχ. 1, 92), [ὁ δὲ μέλλ. Π. Δ. Λευΐτ. ιθ', 26].

ΣΗΜ. Ῥίζα va-, av- (πνεῖν), ἰνδογερμ. avi, ἐξ οὗ τὸ Ἑλλ. oFι, ὀϊ-, οἰ-ωνός (ὡς υἱωνός), ᾠὸν (ὤϊον Σαπφῷ), λατ. ôv-um, ἀρχ. τύπ. âvjam (οὐδ. ἐπίθ. ἐκ τοῦ avi = πτηνὸν) = ὀρνίθειον, ὤβεα (Ἡσύχ. = ὤFιον= ᾠὰ Ἀργεῖοι), αὐγὸν (δημώδ.), οἰ-ωνός (ὄρνεον), σανσ. vi-s (ἀρσ. καὶ θηλ.), vajas (οὐδ.), λατ. avis (πτηνόν), οἰωνίζομαι, οἰώνισμα (ποιητ.), οἰωνισμός (μτγ.), οἰωνιστής (ποιητ.), οἰωνιστήριον, οἰωνιστικός. Παρ' Ὁμήρῳ μόνον τὸ ῥημ. παράγωγ. οἰωνιστής, τὸ δὲ οἰωνίζομαι κατὰ πρῶτον παρὰ Ξενοφῶντι, τὸ δὲ μετοιωνίζομαι κατὰ πρῶτον παρὰ Δεινάρχῳ.

ὀκέλλω (πλησιάζω πλοῖον εἰς τὴν ξηράν). Μόνον ὁ ἐνεστὼς (σπαν. Ξενοφ. Ἀνάβ. Ζ', ε'. 12), παρατ. *ἐπώκελλον* (σπαν Θουκ. Δ', 26) καὶ ἀόρ. *ὤκειλα* (σπαν. Θουκ. Β, 91. Δ', 11. 12. καὶ ἐξ-, ἐπ-).

ΣΗΜ. Παρὰ ποιηταῖς λέγεται καὶ κέλλω (λατ. cello), λατ. per-cello (καταράσσω), pro cello (ἀνατρέπω). Ὅρα βουκολῶ. «Ἐξοκεῖλαι: ἐξορμῆσαι καὶ ἐκδραμεῖν, ὑπὸ τῆς τοῦ πνεύματος φορᾶς ἐκπεσεῖν εἰς τὴν γῆν» (Βεκκ. Ἀνέκδ. 252, 1.). Τὸ μὲν ἐξοκέλλω κατὰ πρῶτον παρ' Αἰσχύλῳ (Ἀγαμ. 666. Ικ. 438), τὸ δὲ ὀκέλλω καὶ ἐποκέλλω κατὰ πρῶτον παρ' Ἡροδότῳ.

ὀκλάζω (ἐπὶ ἵππου = συγκάμπτω τοὺς πόδας). Μόνον ὁ ἐνεστὼς (σπαν. Ξενοφ. Ἱππικ. ια', 3) καὶ ὁ παρατ. *ὤκλαζον* (σπαν Ξενοφ. Ἀνάβ. Ϛ', α', 10), τὰ δὲ ἄλλα ποιητικὰ καὶ μεταγενέστερα.

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Σοφοκλεῖ (Οἰδ. Κ. 196). Γίνεται ἐκ τοῦ κλάω μετὰ προτακτικοῦ ο, ὀκλαδὸν (ποιητ.), ὀκλαδίας (δίφρος, θρόνος. μτγ.), ὀκλάζω, ὀκλὰξ (μτγ.), ὄκλασις (μτγ.), ὄκλασμα (μτγ.), «Ὀκλάσαι, τὸ τὰ γόνατα κάμψαι ἐγκαθίζοντα» (Βεκκέρ. Ἀνέκδ. 56, 1).

ὀκνέω-ῶ (βαρύνομαι, φοβοῦμαι, βραδύνω, ὀκνεύω) (πλειστάκ. καὶ ἀπ-, κατ-), παρατ. *ὤκνουν* (πλειστάκ. καὶ ἀπ-, κατ-), μέλ. *ὀκνήσω* (πλειστάκ. καὶ ἀπ-, κατ-), ἀόρ. *ὤκνησα* (πλειστ. καὶ ἀπ-, κατ-), τὰ δὲ λοιπὰ μεταγενέστερα. Ῥημ. ἐπίθ. *ὀκνητέον* (ἐνίοτε) καὶ *ἀποκνητέον* (Ἰσοκρ. 8, 62. Πλάτ. Ἀλκ Α'. 124, δ'.). Λέγεται καὶ *μεστός εἰμι ὄκνου* (Πλάτ. Νόμ. 665, δ'.), *ὄκνος ἐστί μοι ποιεῖν τι* (Πλάτ. Πολ. 450, δ'. Ξεν. Ἀναβ. Δ', δ', 11), ὡς μεταβ. δὲ εἶναι τὸ *ὄκνον παρέχω τινί* (Θουκ. Γ', 39. κτλ.), *ὄκνον φέρω τινί* (Θουκ. Β', 40), *ὄκνον ἐντίθημί τινι* (Πλάτ. Πολιτ. 473, ε'.), ὡς παθ. δὲ εἶναι *ὄκνος ἐγγίγνεται* (Θουκ. Ζ', 49)

ΣΗΜ. Ὄκ-νος, Fοκ-, σανσ. cank-, ὀκνέω, ὀκνηρός, ἄοκνος (=ἄFοκνος), λατ. vac-illo (σαλεύω, ὀκνῶ) καὶ cunc-tor, σανσ. çank-â, çank-us (ἐνδοιασμός, φόβος), ὄκνος ἀντὶ κόκνος, ὡς ὄγχνη=κόγχνη (Ἡσύχ.). Τὸ ὀκνῶ κατὰ πρῶτον παρ' Ὁμήρῳ.

ὀλιγαρχοῦμαι (ὀλιγαρχικῶς κυβερνῶμαι) ἀποθετ. Μόνον ὁ ἐνεστὼς (πλειστάκ.) καὶ ὁ παθ. ἀορ. *ὀλιγαρχηθῆναι* (σπαν. Θουκ. Η', 63). Λέγεται δὲ καὶ *ὀλιγαρχίαν ἔχω* (Θουκ. Η', 81) καὶ *κατ' ὀλιγαρχίαν πολιτεύω* (Θουκ. Α', 19 Γ', 62).

ΣΗΜ. Ὀλιγαρχοῦμαι, ὀλιγαρχία· ὀλιγαρχικός. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Θουκυδίδῃ, ὅπερ ἐκ τῶν Ἀττικ. πεζολόγων εὕρηται μόνον παρὰ Θουκυδίδῃ, Ἰσοκράτει, Ξενοφῶντι, Πλάτωνι καὶ Δημοσθένει.

ὀλιγοψυχέω-ῶ (μικροψυχῶ). Μόνον ὁ ἐνεστὼς (σπαν. Ἰσοκρ. 19, 39), τὰ δ' ἄλλα μεταγενέστερα.

ΣΗΜ. Ὀλιγόψυχος (μτγ.), ὀλιγοψυχῶ, ὀλιγοψυχία (μτγ.). Ὁ Cobet νομίζει ὅτι τὸ ὀλιγοψυχῶ εἶναι μεταγεν. καὶ διορθοῖ εἰς λιποψυχοῦντα (ὅρα Var. Lect. σ. 522). Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ἰσοκράτει, ἂν τὸ χωρίον ἔχῃ ὑγιῶς.

ὀλιγωρέω-ῶ (ἀμελῶ) (πλειστάκ.) παρατ. *ὠλιγώρουν* (σπαν. Ἰσοκρ. 4, 76 7, 46. Πλάτ. Εὐθύφ. 4, δ'.), μέλ. *ὀλιγωρήσω* (ἐνίοτε) καὶ ἀόρ. *ὠλιγώρησα* (πολλάκ. καὶ παρ-, κατ-). Παθ. *ὀλιγωροῦμαι* (σπαν. Πλάτ. Λάχ. 180, β'. Δημ. 10, 9). ἀόρ. παθ. *ὠλιγωρήθην* (σπαν. Ἰσαῖ. 3, 24. Δημ. 10, 8), παρακ. παθ. *ὠλιγώρημαι* (σπαν. Δημ. 17, 21. καὶ (παρ-) Πλάτ. Ἐπινομ. 991. δ'.), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Ῥηματ. ἐπιθ. *ὀλιγωρητέοι* (Ἰσοκρ. Ἐπιστ. θ', 18). Ἀντὶ τοῦ *ὀλιγωρῶ* λέγεται καὶ *ὀλιγώρως ἔχω πρός τι* (Πλάτ. Φαίδ. 68, γ'. Αἰσχίν. 1, 67

κτλ.) καὶ *ὀλιγώρως διάκειμαι πρός τι* (Λυσί. 1, 3. Πλάτ. Ἀλκιβ. Β', 149, α'. κτλ.) καὶ ἐν *ὀλιγωρίᾳ ποιοῦμαί τι* (Θουκ. Β', 5), καὶ *εἰς ὀλιγωρίαν τρέπομαί τινος*(Θουκ. Β', 52).

ΣΗΜ. Ὀλίγωρος (ὀλίγην ἢ οὐδεμίαν ὥραν ἔχων, ὥρα δὲ = φυλακή, φροντίς· ὅρα ὁρῶ), ὀλιγωρῶ,ὀλιγωρία, ὀλιγώρησις (μτγ.). Τὸ ὀλιγωρῶ κατὰ πρῶτον παρὰ Θουκυδίδῃ (Ε', 9. Ϛ', 91). Ὅτι δὲ τὸ ὀλιγωρῶ γίνεται ἐκ τοῦ ὀλίγωρος, τοῦτο δὲ παρὰ τὸ ὀλίγην ὥραν ἔχειν, φαίνεται καὶ ἐξ ἄλλων συνθέτων, ὡς πολυωρέω - ῶ (Αἰσχίν. 1, 50), πολύωρος, πολυωρία (Αἰλιαν. Ποικίλ. ἱστορ. ΙΒ', ξδ'. καὶ Κοραῆν αὐτόθ.), πρβλ. καὶ μηδεμίαν ὤρην ἔχειν (Ἡροδ. Α', 4), ὤρην οὐδεμίαν ἐποιήσαντο (Ἡροδ. Θ', 8), ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε, ᾧ τινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται (Ἡσιόδ. Ἔργ. 30—31). «Ὀλιγωρεῖν λέγεται τὸ ὀλίγην ὥραν ἔχειν· ἔστι δὲ τὸ μὲν ὀλίγην ἀντὶ τοῦ οὐδὲ ὀλίγην, ὡς ἐν τῷ [Ἰλ. Ε, 800]

ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυ- [*δεύς*,

ὥρα δ' ἐστὶν ἡ φροντίς» (Ἁρποκρ. ἐν λ. ὀλιγωρήσετε). Ὅθεν σφάλλεται ὁ Βασιάδης νομίζων ὅτι τὸ ὀλιγωρῶ=ὀλίγον ὅρω=ὀλίγον κινῶ ἐμαυτόν, ὀλίγον φροντίζω, ἑπομένως ἀμελῶ (ὅρα Βασιάδ. Δημοσθ. Φιλιπ. Α', 3, σ.121).

ὀλισθάνω (γλιστρῶ). Μόνον ἐνεστ. (σπαν. Ξενοφ. Ἀναβ. Γ', ε', 11. Πλάτ. Κρατύλ. 427, β'. καὶ (ἀπ-) Θουκ. Ζ', 65) καὶ *διολισθάνω* (Πλάτ. Λῦσ. 216, δ'., ὃ γράφεται «*διολισθαίνω*»), τὰ δὲ λοιπὰ ποιητικὰ καὶ μεταγενέστερα.

ΣΗΜ. Ῥίζ. λιτ- (γλιτ-), λίς (λεῖος, φαλακρός), λισσός, λατ. glittus (ὁμαλός, λεῖος), gli-s (γλοιώδης γῆ), γλίσ-χρος (= γλίτ-χρος) λιθ. glitus (λεῖος, κολλητικός), γλίττον (ἀπόλουμα. Εὐστάθ.), γλιττὸν (γλοιόν. Ἡσύχ.), ὀ-λισ-θ-άνω (ἀντὶ ὀ-γλισ-θ-άνω), δημ. γλιστρῶ, ὀλισθαίνω (μεταγεν. Cobet Var. Lect. 25), εὐολίσθητος (μτγ.), γαλλ. glisser (γλιστρῶ), γερμ. glatt (ὄλισθος). Τὸ ὀλισθάνω κατὰ πρῶτον παρ' Ὁμήρῳ.

ὄλλυμι (ἀφανίζω). Ἁπλοῦν ποιητικόν, πεζολογικὸν δὲ σύνθετον *ἀπόλλυμι* (πλειστάκ. καὶ προςαπ-, ἀνταπ-), καὶ *ἀπολλύω* (πολλάκ.), *διόλλυμι* (ἐνίοτε) καὶ *ἐξόλλυμι* (σπαν. Πλατ. Εὐθύδ. 285, α'.), παρατ. *ἀπώλλυν* (ἐνίοτε) καὶ *ἀπώλλυον* (ἐνίοτε), μελλ. *ἀπολῶ* (πολλάκ. καὶ συναπ-, προσαπ-), καὶ *διολῶ* (σπαν. Πλάτ. Πολιτικ. 284, α'.), ἀόρ *ἀπώλεσα* (πλειστάκ. καὶ συναπ-), *διώλεσα* (ἐνίοτε) καὶ *ἐξώλεσα* (σπαν. Δημ. 9, 56. 10, 11), παρακ. *ἀπολώλεκα* (πλειστάκ. καὶ προςαπ-, καὶ σπαν. *διολώλεκα* (Ἰσαῖ. 5, 43. Ἀποσπ. 17. 2), ὑπερσ. *ἀπολωλέκειν* (Δημ. 19, 260. 266. Θουκ. Η',96.(1).), εὐκτ. *ἀπολωλεκὼς εἴην* (Δημ. 33, 18. 59, 69), μετ' ὀλ. μέλ. *ἀπολωλεκὼς ἔσομαι* (Δημ. 58, 31). Παθ. *ἀπόλλυμαι* (πλειστ. καὶ προαπ-, προςαπ-, συναπ-) καὶ *διόλλυμαι* (ἐνίοτε), παρατ. *ἀπωλλύμην* (πλειστάκ. καὶ προςαπ-, συναπ-), μέλ. μέσ. συνηρ. ὡς παθ. *ἀπολοῦμαι* (πλειςτ. καὶ προαπ-), *διολοῦμαι* (σπαν. Πλάτ. Πολιτικ. 302, α'. Πολ. 497, δ'.) καὶ *ἐναπολοῦμαι* (εὐκτικ. Ξενοφ. Ἑλλ. Γ, α'. 4. Cobet), μέσ. ἀόρ. β' ὡς παθ. *ἀπωλόμην* (πλειστάκ. καὶ προαπ-,ἐναπ-, προςαπ-, συμπαραπ-, συναπ-) καὶ *διωλόμην* (σπαν. Πλάτ. Πολ.491, ε'. Τίμ. 88, δ'.), παρακ. β' ἐνεργ. ὡς παθ. *ἀπόλωλα* (πλειστάκ. καὶ παραπ-, προαπ-, προςαπ-) καὶ *ἐξόλωλα* (σπαν. Πλάτ. Εὐθύδ. 283, δ'. ε'. 285, α'.), *διόλωλα* (σπαν. Πλάτ. Πολιτικ. 302, α'.), ὑπερσ. *ἀπωλώλειν* (ἐνίοτε), εὐκτ. *ἀπολωλὼς εἴην* (Δημ. 35, 31. 36). Τὸ μέσ. κατ' ἀνάλυσιν *ἀπόλλυμι ἐμαυτόν* (Ἀνδοκ. 1, 114. Ἰσο. 12, 55. 21, 12. κτλ.). Λέγεται καὶ *ὄλεθρον φέρω τινί* (Πλάτ. Φαιδ. 88, β'.).

(1) Γράφεται *ἀπολωλέκειν*, φέρεται δὲ καὶ *ἀπολώλειν*, ἀλλ' εἶναι ψευδῆ κατὰ Cobet (Mnemos. 1877, σ. 14—15).

ΣΗΜ. Ῥίζα ὀλ-, ὄλ-ε-θρος, ὄλ-λυμι [=ὄλ-νυμι], ὅπερ κατὰ πρῶτον παρ' Ὁμήρῳ, ὀλε-, ἐξώλης, προώλης, πανώλης, ἀπώλεια, ὀλε-τὴρ (ποιητ.), λατ. ab-ol-ēre (ἀφανίζειν). Ὁ Cobet τὸ ἀπολλύω νομίζει ὅτι εἶναι τῶν χρόνων τοῦ Μενάνδρου καὶ ἄγνωστον τοῖς παλαιοῖς (Ὅρα ἔκδ. Λυσί. σ. IX). Τὸ ἀπόλλυμι διαφέρει τοῦ φθείρω (διαφθείρω)· διότι τὸ μὲν ἀπόλλυμι σημαίνει παντελῆ φθορὰν τῶν ἐξ ὧν συνίσταταί τι, τὸ δὲ φθείρω σημαίνει ἀλλοίωσιν εἰς τὸ κακόν, ἐντεῦθεν καὶ φθορὰ παρθένου, κτλ.

ὁλοκαυτέω-ῶ (θύω, κάμνω ὁλοκαύτωμα). Ὁ ἐνεστὼς (σπαν. Ξενοφ. Ἀνάβ. Ζ', η', 4), παρατ. *ὡλοκαύτουν* (σπαν. Ξενοφ. Ἀνάβ. Ζ', η', 5) καὶ ἀόρ. *ὡλοκαύτησα* (σπαν. Ξενοφ. Παιδ. Η', γ', 54), τὰ δὲ λοιπὰ μεταγενέστερα.

ΣΗΜ. Ὁλόκαυτος (μτγ.), ὁλοκαυτέω, ὁλοκαυτόω (μτγ.), ὁλοκαύτωμα (μτγ.). ὁλοκαύτωσις (μτγ.), ὁλοκαυτίζω (μεταγ. ὅρα Βekk. Ἀνέκδ. 56, 13). Τὸ ὁλοκαυτέω-ῶ κατὰ πρῶτον παρὰ Ξενοφῶντι.

ὀλολύζω (φωνάζω μεγαλοφώνως, ἐπὶ χαρᾶς καὶ λύπης) (σπαν.Δημ. 18, 260),παρατ. *συνωλόλυζον* (σπαν. Ξενοφ. Ἀνάβ. Δ', γ', 19), ἀόρ. *ὠλόλυξα* (σπαν. Δημ. 18, 259), τὰ δὲ λοιπὰ ποιητικὰ καὶ μεταγενέστερα. Ἀντ' αὐτοῦ δὲ λέγεται καὶ *ὀλολυγῇ χρῶμαι* (Θουκ. Β', 4)

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ, κυρίως δὲ λέγεται ἐπὶ γυναικῶν (Πολυδ. Α', 28: «τὸ ὀλολῦξαι καὶ ὀλολυγῇ χρήσασθαι ἐπὶ γυναικῶν»). Ῥίζ. ὑλ-, ὑλ-άω (ὑλακτῶ), ὑλ-ακτῶ, ἀναδιπλώσει ὑλ-υλ-, ὀλ-υλ-, ὀλ ολυ, ὄλολος (μτγ. ὁ γυναικώδης), ὀλολύζω [=ὀλ-ολ-ύjω]=λατ. ul-ul-o, ὀλολυγή, ὀλολυγμὸς (ποιητ.), ὀλολυγαία (ἐπίθ. τῆς νυκτερινῆς γλαυκός. Ἐπιγραμ.), ὀλολυγὼν (εἶδος πτηνοῦ). Τὸ ὀλολύζω ἔχει τὸ Υ μακρόν, ὡς φαίνεται ἐκ τοῦ μέτρου ἐν τῷ ὀλολυγὴ (Ἰλ. Ζ', 301), κτλ.

ὀλοφύρομαι (θρηνῶ, ὀδύρομαι) ἀποθετ. (ἐνίοτε), παρατ. *ἀπωλοφυρόμην* (τι· σπαν. Ξενοφ. Ἑλλ. Α', α', 27), μέλ. *ὀλοφυροῦμαι* (σπαν. Θουκ. Β', 34. 44. κατ' ἀνάγν. Cobet. Λυσί. 29, 4), ἀόρ. μέσ. *ὠλοφυράμην* (σπαν. Θουκ. Ζ', 30. Λυσί. 2, 37. καὶ ἀν-, ἀπ-, κατ-, προς-), ἀόρ. παθ. ὡς ἐνεργ. *ὀλοφυρθείς* (σπαν. Θουκ. Ϛ', 78), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Ἀντὶ τοῦ *ὀλοφύρομαι* λέγεται καὶ *ὀλόφυρσιν ποιοῦμαι* (Θουκ. Α', 143) καὶ *ὀλοφυρμῷ χρῶμαι* (Θουκ. Ζ', 71).

ΣΗΜ. Ὀλοφύρομαι, ὀλοφυρ-μός, ὀλόφυρσις. Ὅρα λέπω. Τὸ ὀλοφύρομαι κατὰ πρῶτον παρ' Ὁμήρῳ.

ὁμαλίζω (κάμνω τι ὁμαλόν) (σπαν. Ξενοφ. Οἰκ ιη', 5), μέλ. μέσ. ὡς παθ. *ὁμαλιεῖται* (σπαν. Ξενοφ. Οἰκον. ιη', 5) καὶ παρακ. παθ. *ὡμαλι-*

σμένος (σπαν. Ἰσοκρ. 5, 40. 6, 65), τὰ δὲ λοιπὰ μεταγενέστερα. Λέγεται καὶ *ὁμαλὸν ποιῶ* (Πλάτ. Τίμ. 34, β'.) καὶ *ὁμαλός εἰμι* (Πλάτ. Τίμ. 57, ε'. κτλ.).

ΣΗΜ. Ὁμαλὸς (ἐκ τοῦ ὁμὸς = ἴσος, ὅμοιος, ὁ αὐτός, samas, σανσ. similis', ὁμαλίζω, ὁμαλισμός (μεταγ.), ὁμαλιστέον (μτγ.), ὁμαλής (Ἀττικ.), ὁμαλύνω, ὁμαλότης. Τὸ ὁ μ α λ ί ζ ω κατὰ πρῶτον παρ' Ἰσοκράτει.

ὁμαλύνω (ὁμαλίζω) (σπαν. Πλάτ. Τίμ. 45, ε'.), ἀόρ. *ὡμάλῦνα* (Corp. In. Att. T. A'. 282, 4) καὶ *προωμάλῦνα* (σπαν. Πλάτ. Τίμ. 50, ε'. καὶ C. I. A. Τόμ. A'. 282) καὶ ἀόρ. παθ. *ὁμαλῦνθεὶς* (σπαν. Πλάτ. Τίμ. 45, ε'.), τὰ δὲ λοιπὰ μεταγενέστερα. Λέγεται καὶ *ὁμαλός εἰμι* (Πλάτ. Τίμ. 57, ε'.) καὶ *ὁμαλὸν ποιῶ* (Πλάτ. Τίμ. 34, β'.).

ΣΗΜ. Ὅρα ὁ μ α λ ί ζ ω. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Πλάτωνι.

ὁμαρτέω-ῶ (συμπορεύομαι, ἀκολουθῶ). Ἁπλοῦν εἶναι ποιητικόν, πεζολογικὸν δὲ σύνθετον, *συμπαρομαρτῶ* (ἐνίοτε) καὶ ἡ εὐκτικὴ τοῦ παρατ. *συμπαρομαρτοίη* (σπαν. Ξενοφ. Ἱέρ. θ', 8., ἔνθα κακῶς γράφεται «*συμπαρομαρτοῖ*») καὶ *συμπαρομαρτοῖεν* (σπαν. Ξενοφ. Οἰκον δ', 21), τὰ δὲ ἄλλα ποιητικά.

ΣΗΜ. Τὸ ὁ μ α ρ τ ῶ κατὰ πρῶτον παρ' Ὁμήρῳ, τὸ δὲ σ υ μ π α ρ ο μ α ρ τ ῶ παρὰ Ξενοφῶντι, παρ' ᾧ μόνον ἐκ τῶν Ἀττικῶν πεζολόγων ὑπάρχει. Ὅρα ἀ ρ α ρ ί σ κ ω.

ὁμηρεύω (ὅμηρός εἰμι). Μόνον ὁ ἐνεστὼς (σπαν. Αἰσχίν. 2, 81), ὁ μέλλ. *ὁμηρεύσω* (σπαν. Αἰσχίν. 3, 133) καὶ ὁ ἀόρ. *ὡμήρευσα* (σπαν. Ἰσαῖ. 7, 8). Αἱ δὲ ἄλλαι σχέσεις ἐκφέρονται περιφραστικῶς, *ὁμήρους δίδωμι* (Θουκ. A', 56. Γ', 90. 101. Λυσί. 12, 68. κτλ.), *λαμβάνω ὁμήρους* (Θουκ. A', 57. 108. 115. B', 26. κτλ.), *ὁμήρους ἔχω* (Θουκ. A', 82. Γ', 114. Πλάτ. Θεαίτ. 202, ε'. κτλ.).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ἡσιόδῳ (Θεογ. 39), παρ' Ὁμήρῳ δὲ ὁ μ η ρ έ ω. «Ὅ μ η ρ ο ι δ' ε ἰ σ ὶ ν ο ἱ ἐ π ὶ σ υ μ β ι β ά σ ε ι· ὁ μ η ρ ῆ σ α ι γ ὰ ρ τ ὸ σ υ μ β α λ ε ῖ ν. Ὅ μ η ρ ο ς· «ὡ μ ή ρ η σ ε δ έ μ ο ι π α ρ' ἑ τ α ί ρ ω ν ἄ γ γ ε λ ο ς ἐ λ θ ὼ ν (Ὀδ. Π, 468., ἔνθα νῦν γράφεται «ἄ γ γ ε λ ο ς ὠ κ ύ ς»). Θ ε ό π ο μ π ο ς δ' ὁ μ η ρ ε ῖ ν φ η σ ὶ π α ρ ὰ τ ο ῖ ς Ἀ χ α ι ο ῖ ς λ έ γ ε σ θ α ι τ ὸ ἀ κ ο λ ο υ θ ε ῖ ν. Τ ο ὺ ς ο ὖ ν ἐ π' ἀ κ ο λ ο υ θ ί ᾳ τ ῶ ν ὁ μ ο λ ο γ ο υ μ έ ν ω ν δ ι δ ο μ έ ν ο υ ς ἐ ν τ ε ῦ θ ε ν ὁ μ ή ρ ο υ ς φ η σ ὶ λ έ γ ε σ θ α ι» (Ἁρποκρατ. ἐν λ. ὁ μ η ρ ε ύ ο ν τ α ς). ῥημ. παράγ. ὁμηρεία (Ἀττικ.), ὁμήρευμα (μτγ.). Ὅρα ἀ ρ α ρ ί σ κ ω.

ὁμιλέω-ῶ (σύνειμι) πλειστάκ. καὶ προς-, ἐξ-) παρατ. *ὡμίλουν* (σπαν. Ξενοφ. Ἀπομ. A', β', 39), μέλ. *ὁμιλήσω* (σπαν. Πλάτ. Γοργ. 521, α'.), ἀόρ. *ὡμίλησα* (ἐνίοτε), παρακ. *ὡμίληκα* (σπαν. Θουκ. Ϛ', 70. Πλάτ. Πολ. 408, δ'. 409, α'.) καὶ ὑπερσ. *ὡμιλήκειν* (σπαν. Θουκ. Ϛ', 55), ῥημ. ἐπίθ. *ἀνομίλητος* (σπαν. Πλάτ. Νόμ. 951, β'.), τὰ δὲ λοιπὰ μεταγενέστερα. Λέγεται καὶ *ὁμιλίᾳ χρῶμαι* (Πλάτ. Πόλ. 550, β'.) καὶ *ὁμιλίαν ποιοῦμαι* (Πλάτ. Σοφ. 223. α'.).

ΣΗΜ. Ὁμιλῶ, ὁμίλημα (μτγ.), ὁμιλητής, ὁμιλητικός, ὁμιλητός (ποιητ.) ὁμιλία, ὅμιλος. Ὅρα ε ἰ λ έ ω. Τὸ ὁ μ ι λ ῶ κατὰ πρῶτον παρ' Ὁμήρῳ.

ὄμνυμι (ὀμνύω) (πλειστάκ. καὶ ἀπ-, συν-, ἐπ-, συνεπ-, ἐξ-, προ-, προς-) [καὶ *ὀμνύω* (1)· καὶ ἐπ-, ἐξ-, προς-)], παρατ. *ὤμνῡν* (ἐνίοτε· καὶ ἐπ-, ξυν-) [καὶ *ὤμνυον* (1)· καὶ συν-], μελ. *ὀμοῦμαι* (ἐνίοτε· καὶ ἐξ-, ἀπ-, δι-), ἀόρ. *ὤμοσα* (πλειστάκ. καὶ ἀπ-, συν-, ἐπ-, ἐξ-, προ-, προς-), παρακ. *ὀμώμοκα* (πλειστάκ. καὶ συν-, ἀντ-, δι-), ὑπερσ. *ὠμωμόκειν* (σπαν. Ξενοφ. Ἑλλ. E', α', 35. Δημ. 9, 15. 19, 318), μετ' ὀλ. μέλ. *ἀντομωμοκὼς ἔσομαι* (Ἀντιφῶν 1, 8). Μέσ. *διόμνῡμαι* (πολλάκ.), *ἐξόμνῡμαι* (ἐνίοτε), *ἀντόμνῡμαι* (σπαν. Ἰσαῖ. 5, 16) καὶ *ὑπόμνῡμαι* (σπαν. Δημ. 47, 39), παρατ. μέσ. *διωμνύμην* (σπαν. Αἰσχίν. 3, 150) καὶ *ὑπωμνύμην* (σπαν. Δημ. 39, 37. 47, 45), μέλ. παθ. *ὀμοσθήσομαι* (σπαν. Ἀνδοκ. 3, 34), ἀόρ. μέσ. *διωμοσάμην* (πλειστάκ.), *ἐξωμοσάμην* (ἐνίοτε), *ἀντωμοσάμην* (σπαν. Ἰσοκρ. 18, 37), *ἀνθυπωμοσάμην* (σπαν. Δημ. 48, 25. 58, 43), *ἐπωμοσάμην* (σπαν. Δημ. 18, 137) καὶ *κατωμοσάμην* (σπαν. Δημ. 39, 4), ἀόρ. παθ. *ὠμόθην* (σπαν. Ξεν. Ἑλλ. Z', δ', 10. Ἰσαῖ 2, 40. καὶ ὑπ-), παρακ. παθ *ὀμώμοται* (σπαν. Δημ. 20, 159), *ὀμώμονται* (Ἀνδοκ. 1, 98) καὶ μετοχ. *ὀμωμοσμένος* (σπαν. Δημ. 7, 10. 22, 4. 24, 175), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Ῥημ. ἐπ. *ἀνώμοτος* (ἐνίοτε), *ἀπώμοτος* (Πλάτ. Νόμ. 814, α'.), *ξυνώμοτον* (Θουκ. B', 74).

ΣΗΜ. Ῥιζ. ὀμ-, ὄ μ - ν υ - μ ι (ὅπερ κατὰ πρῶτον παρ' Ὁμήρῳ), ὀμ-νύω, ἐπεκτείνεται διὰ τοῦ ο μένοντος βραχέος πρὸ τῶν ἀπὸ συμφώνου ἀρχομ. χρονικῶν καὶ παραγωγ. καταλήξεων. Παράγ. συνωμότης, συνωμοσία, ἐνώμοτος (ποιητ.). Τὸν δὲ ἀόρ. π ρ ο ς ώ μ ο σ α (Ξενοφ. Ἀνάβ. B', β', 8) ὁ Cobet γράφει «π ρ ὸ ς ὤ μ ο σ α». Τὸ δὲ ὀ μ ν ύ ω νομίζει ἄγνωστον τοῖς παλαιοῖς καὶ εὔχρηστον ἐπὶ Μενάνδρου (ὅρα ἐκδ. Λυσί. σ. IX). Καὶ ἐν ἐπιγραφαῖς εὕρηται ἀπὸ τοῦ 336 π. X. (C. I. A. B', 160, 13) καὶ ἑξῆς. «Ὄ μ ν υ μ ι, ο ὐ κ ὀ μ ν ύ ω» (Θωμ. Μάγιστρ. 648, 7).

ὁμογνωμονέω-ῶ (εἰμὶ ὁμογνώμων). Μόνον ὁ ἐνεστὼς ἐνίοτε καὶ ἡ εὐκτ. τοῦ παρατ. *ὁμογνωμονοῖμεν* (σπαν. Ξενοφ. Ἑλλ Ϛ', γ', 5), παρατ. κατὰ περίφρασιν *ὁμογνώμων ἦν* (Θουκ. H', 92).

ΣΗΜ. Ὁμογνώμων, ὁμογνωμονῶ, ὁμογνωμοσύνη (μτγ.). Τὸ ὁ μ ο γ ν ω μ ο ν ῶ κατὰ πρῶτον παρὰ Θουκυδίδῃ.

ὁμοδοξέω-ῶ (τὴν αὐτὴν δοξασίαν ἔχω). Μόνον ὁ ἐνεστὼς (σπαν. Πλάτ. Φαίδ. 83, δ'. Πολ. 442, δ'.).

ΣΗΜ. Ὁμόδοξος (μτγ.), ὁμοδοξῶ, ὁμοδοξία. Τὸ ὁ μ ο δ ο ξ ῶ κατὰ πρῶτον παρὰ Πλάτωνι.

ὁμοδρομέω-ῶ (τρέχω ὁμοῦ). Μόνον ὁ ἐνεστως σπανίως (Ἀλκιδάμ. περὶ Σοφισ. 7. ψ. Πλάτ. Τίμ. Λοκρ.

---

(1) Ξενοφ. Ἀνάβ. Ϛ', α', 31. Z', ς', 18. Παιδ. Ϛ', δ', 6 (ἐπ-). Συμπ. δ', 10. θ', 6 (ἐπ-). Δημ. 21, 17. 23, 5. 29, 20 (ἐξ-). 42, 17. 18. (προς-). 54, 40. 41. 57, 56. Λυκοῦργ. § 76) καὶ παρατατ. Θουκ. E', 19. 23. 24. Λυσί. 19, 26. Δημ. 19, 292 21, 119 καὶ 57, 64 (συν-) εἶναι πλημμελεῖς γραφαὶ καὶ μεταγραπτέαι κατὰ τὰ εἰς MI.

97, α'), ἀντ' αὐτοῦ δὲ λέγεται *ὁμόδρομός τινί εἰμι* (Πλάτ. Ἐπινομ. 987, β'.) καὶ *συνθέω τινί* (Ξεν. Ἱππικ. ι', 11. πρβλ. καὶ Λουκιαν. Τίμ. 45, σ. 158) καὶ *συνδιαθέω μετά τινος* (Πλάτ. Πολιτικ. 266, γ'.) καὶ *ξύνδρομός τινί εἰμι* (Πλάτ. Ἐπινομ. 990 β'.) καὶ *ξύνδρομα πορεύομαι* (Πλάτ. Πολιτικ. 266, γ'.).

ΣΗΜ. Τὸ ὁμοδρομῶ κατὰ πρῶτον παρὰ ψ. Πλάτωνι. Λέγεται δὲ καὶ ὁμόσε θεῖν, τρέχειν, ἰέναι, χωρεῖν, ἀλλ' ἐπ' ἐχθρικῆς ἐννοίας, ἀλλ' ὅμως ὁμοῦ εἶναι καὶ γενέσθαι, οὐχὶ δὲ ὁμόσε (Ξεν. Παιδ. Β', γ', 18. 20 Γ', β', 4. κτλ.).

ὁμοιάζω (εἶμαι ὅμοιός τινι). Τὸ ῥῆμα εἶναι μεταγενέστερον, ἀντ' αὐτοῦ δὲ παρὰ τοῖς Ἀττικοῖς πεζολόγοις λέγεται ἀείποτε κατὰ περίφρασιν, *ὅμοιος* ἢ *ὅμοιός εἰμί* (τινι. Πλάτ. Μένων 97, α'. Θουκ. Α', 35. 73. Δημ. 24, 106. Λυκοῦργ. 14. κτλ., ἀλλὰ καὶ *ὅμοιός τί εἰμι* Ξενοφ Παιδ. Ϛ', α', 37. κτλ) καὶ *ὅμοιος γίγνομαί τινι* (Ξεν. Ἀναβ. Δ', α', 17), *εἰμὶ ὁμοῖά τινι* (Θουκ. Α', 25. πρβλ. καὶ Ζ', 29) καὶ *εἰμὶ ὁμοίως* (*«ὁμοίως εἶναι τὴν ψυχὴν καὶ τὴν οὐσίαν, ἣν σὺ νῦν λέγεις»* Πλάτ. Φαίδ. 77, α' κτλ), *ἐκ τοῦ ὁμοίου εἰμί* (Θουκ Α', 143), *ἐν ὁμοίῳ εἰμί* (Θουκ. Δ', 106. Ϛ', 11).

ΣΗΜ. Τὸ ὁμοιάζω κατὰ πρῶτον εὑρηται ἐν τῇ Κ. Διαθήκῃ Γίνεται δὲ ἐκ τοῦ ὅμοιος, τοῦτο δὲ ἐκ τοῦ ὁμὸς (ὁ αὐτός· πρβλ. τὰ Ὁμηρ. ὁμὸς θρόος (Ἰλ. Δ, 437), ὁμὴ αἶσα (Ἰλ. Ο, 209), ὁμὴ τιμὴ (Ἰλ. Ω, 57), ὁμὴ ὁδός, ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι (Ἰλ. Ψ, 91), τῷ Διῒ καὶ τῷ Ποσειδῶνι ἦν ὁμὸν γένος (Ἰλ. Ν, 354), κτλ.), ἐξ αὐτοῦ δὲ καὶ ὁμόθεν=ἐκ τοῦ αὐτοῦ γένους ἢ τόπου (ὅθεν οἱ ἀδελφοὶ λέγονται ὁμόθεν γεγονέναι, ὁμόθεν εἶναι=ἐκ τῶν αὐτῶν γεγονέναι), ὁμόσε=εἰς ταὐτόν, ὅθεν ὁμόσε χωρεῖν, ἰέναι, βαδίζειν, πορεύεσθαι, θεῖν, φέρεσθαι, ἐλαύνειν=εἰς τὸν αὐτὸν τόπον τινὶ ἐλθεῖν, καὶ οὕτως=συντρέχειν, συμβαδίζειν, συμπλέκεσθαι, τὸ δὲ ὁμοῦ=ἐν ταὐτῷ, ὡς ὁμοῦ διατρίβειν, ὁμοῦ εἶναι, ὁμοῦ γίγνεσθαι, ὅπερ τίθεται καὶ ἐπὶ κινήσεως (Ἀριστοφ. Θεσμοφ. 570. Ξεν. Ἑλλ. Δ', ε', 15) καὶ ἐπὶ στάσεως (=ἐγγύς. Ὅρα Σχολ. Ἀριστοφ. Θεσμ. 572. Σχολ. Πλάτων. Φαιδ. 72, α'. Σχολ. Ἀπολλ. Ῥοδ. Β', 121. Βεκκ. Ἀνεκδ. 192, 7. 285, 1. Cobet Nov. Lect. σ. 99—100). Συγγενὲς δὲ εἶναι καὶ τὸ ἀμὸς (=εἷς), ἐξ οὗ τὸ ἅμα. γινόμ. ἐκ ῥίζ. σαμ-, σανσ. sama-m samâ, λατ. simul (ἅμα καὶ ὁμοῦ), similis (ὅμοιος), simulo (=ὑποκρίνομαι, οἱονεὶ πλάττομαι καθ' ὁμοίωσιν). Ἐν τοῖς ἐκ τοῦ ἀμὸς συνθέτοις ἢ παραγώγοις σημαίνεται ἑνότης, ὡς ἀμόθεν γέποθεν (=ἐξ ἑνός γέ του τόπου), ἀμαδρυάδες, ἁμαρτῆ, ἐν δὲ τοῖς ἐκ τοῦ ὁμὸς σημαίνεται ταυτότης καὶ ὁμοιότης, ὁμόσκηνος, ὁμόζυγος, ὁμόφυλος, κτλ. Ὅρα Ἐποίκ. Λοκρ. Γράμμ. Ι. Οἰκονομ. σ. 59—60.

ὁμοιόω-ῶ (κάμνω ὅμοιόν τινι), (ἐνίοτε καὶ ἀφ-, ἐξ-, ἀν-, προς-), παρατ. *ὡμοίουν* (σπαν. Πλάτ. Παρμ. 148, β'. καὶ (ἀφ-) Πολ. 564, β'.), μέλ. *ἀνομοιώσω* (σπαν. Πλάτ. Παρμ. 148, β'.) καὶ ἀόρ. *ὡμοίωσα* (ἐνίοτε καὶ ἐξ-), παρακ. καὶ ὑπερσ. ἐλλείπουσιν. Μέσ. καὶ σπαν. παθ. *ὁμοιοῦμαι* (πολλάκ. καὶ ἀφ-, ἐξ-, ἀν-), παρατ. ἐλλείπει, μέλλ. παθητ. *ὁμοιωθήσομαι* (σπαν. Πλάτ. Νόμ. 964, δ'.), ἀόρ. παθ. καὶ ὡς μέσ. *ὡμοιώθην* (πολλάκ. καὶ ἀφ-), παρακ. μέσ. καὶ παθ. *ὡμοίωμαι* (ἐνίοτε καὶ ἀφ-), ὑπερσ. ἐλλείπει. Τὸ μέσ. καὶ ἀναλελ. *ὁμοιῶ ἐμαυτὸν* (Πλάτ. Πολ. 393, γ'. κτλ. καὶ (ἐξ-) Γοργ. 512. ε'. κτλ. καὶ (ἀφ-) Πολ. 396, α'. κτλ.) Λέγεται καὶ *ὅμοιόν τινι ποιῶ* (Θουκ. Β', 72. κτλ.) καὶ *ὅμοιος γίγνομαί τινι* (Ξεν. Ἀναβ. Δ', α', 17 κτλ.) καὶ *εἰμι* (Θουκ. Α', 35. 73. Πλάτ. Μένων 97, α'. Δημ. 24, 106. Λυκοῦργ. 14. κτλ.).

ΣΗΜ. Ῥίζ. ἀμὸς (εἷς), ὁμὸς (ὁ αὐτός), ὅμο-ι-ος καὶ ὁμοῖος ὁμοιῶ, ὁμοίωμα, ὁμοίωσις, ἀνομοίωσις, ἀφομοίωσις (μτγ.), ἐξομοίωσις (μτγ.), ὁμο-λογῶ, ὁμο-νοῶ, ὁμο-πολῶ, ὁμο-φρονῶ, ὁμο-γνωμονῶ. Τὸ ὁμοιῶ κατὰ πρῶτον παρ' Ὁμήρῳ· ὅρα ὁμοιάζω.

ὁμολογέω-ῶ (λέγω ταὐτά, συμφωνῶ, ὁμολογῶ) (πλειστάκ. καὶ συν-, προς-, καθ-), παρατ. *ὡμολόγουν* (πολλάκ. καὶ συν-, προς-), μελ. *ὁμολογήσω* (πλειστ. καὶ συν-), ἀόρ. *ὡμολόγησα* (πλειστάκ. καὶ συν-, δι-, προς), παρακ. *ὡμολόγηκα* (πλειστάκ. καὶ συν-), ὑπερσ. *ὡμολογήκειν* (ἐνίοτε) καὶ *ὡμολογηκὼς ἦν* (σπαν. Ἰσοκ. 17, 31). Παθ. καὶ σπανιώτερ. μέσ. *ὁμολογοῦμαι* (πλειστάκ. καὶ ἀν-, προς-, συν-), τὸ δὲ *ἀνομολογοῦμαι* (=καὶ οὐχ ὁμολογοῦμαι. Πλάτ. Γοργ. 495, α'), μέσ. *διωμολογοῦμαι* (Πλάτ. Φαῖδρ. 237, γ'), παρατ. παθ. καὶ σπανιώτ. μέσ. *ὡμολογούμην* (πολλάκ. καὶ συν-, ἀν- [Ἰσοκ. 6, 52 κατὰ Naber]), παρατ. μέσ. *διωμολογούμην* (σπαν. Ξενοφ. Ἑλλ Δ', β', 13), μέλ. μέσ. ὡς παθ. *ὁμολογήσομαι* (σπαν. Πλάτ Θεαίτ. 171, β'), μέσ. ἀορ *ὡμολογησάμην* (ἐνίοτε· καὶ δι-, συν-, ἀν-, ἀνθ-), ἀόρ. παθ. *ὡμολογήθην* (πλειστάκ. καὶ δι-, συν-, ἀν- [Corp. In. Att. Τόμ. Α', 188, 20], παρακ. παθ. *ὡμολόγημαι* (πλειστάκ. καὶ δι- [καὶ ὡς μέσ.], προ-, συν-), ὑπερσ. παθ. *ὡμολογήμην* (ἐνίοτε· καὶ προ-) καὶ *διωμολογημένος ἦν* (παθ. σπαν. Πλάτ. Σοφ. 264, ε.). Ῥημ. ἐπίθ. *εὐομολόγητος* (Πλάτ. Πολ. 527, β'.), *ὁμολογητέον* (ἐνίοτε), *διομολογητέον* (Πλάτ. Σοφ. 260, β'. Παρμεν. 142, β'.) καὶ *ἀνομολογητέον* (Πλάτ. Πολ. 452, ε'). Λέγεται καὶ *ὁμολογίαν ποιοῦμαι* (Θουκ. Γ', 28. Δ', 65), *διομολογίαν ποιοῦμαι* (Ἰσαῖ. 11, 21) καὶ παθ. *ὁμολογία γίγνεται* (Θουκ Δ', 106. Ε', 5. Ζ', 82).

ΣΗΜ. Ὁμόλογος (ὁ ταὐτὰ λέγων. Ξενοφ. Συμπ. η', 36), ὁμολογῶ, ὁμολόγημα, ὁμολογία, ὁμολόγησις (μτγ.), ὁμολογητής (μτγ.), ἐξομολογοῦμαι (ἀποθ. μεγ.), καὶ ἐξομολογῶ (=συγκατανεύω. Λουκᾶς κβ', 6), ἐξομολόγησις (μτγ.). Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Σοφοκλεῖ (Φιλ. 980).

ὁμονοέω-ῶ (συμφωνῶ τινι, ἔχω ὁμόνοιαν, οὗ ἀντίθετον τὸ *στασιάζω*) (πλειστάκ.), παρατ. *ὡμονόουν* (σπαν. Ἰσοκρ. 7, 31. Δημ. 14, 36), μέλλ. *ὁμονοήσω* (ἐνίοτε) καὶ ἀόρ. *ὡμονόησα* (ἐνίοτε), τὰ δὲ λοιπὰ ἐλλείπουσιν, ῥημ. ἐπίθ. ὁμονοητέον (ψ. Αἰσχίν. Ἐπιστ. ΙΑ', 12). Λέγεται καὶ κατὰ περίφρασιν *εἰς ὁμόνοιαν καθίσταμαι* (Λυσί. 18, 18. κτλ.), *ἔστι μοι ὁμόνοια πρός τινα* (Πλάτ. Ἀλκιβ. Α', 127 α'.), ὡς μεταβ. δὲ εἶναι τὸ *ὁμόνοιαν ἐμβάλλω* τινὶ (Ξενοφ. Παιδ. Ε', ε', 11. κτλ.) καὶ *εἰς ὁμόνοιαν καθίστημί τινα* (Ἰσοκρ. 7, 69. κτλ.).

ΣΗΜ. Ὁμόνους (μτγ.), ἐπιρρ. ὁμόνως (Ξεν. Παιδ. Ϛ', δ', 15), ὁμονοῶ, ὁμόνοια, ὁμονοητικός. Τὸ ὁ μ ο ν ο ῶ κατὰ πρῶτον παρὰ Θουκυδίδῃ (Η', 75).

ὁμοπολέω-ῶ (ὁμοίως κινῶ τι ἢ κινοῦμαι). Μόνον ὁ ἐνεστὼς (Πλάτ. Κρατύλ 405, δ'. 406, α'.), παρατ. *ἦν ὁμοπολῶν* (σπαν. Πλάτ. Κρατύλ. 405, δ'.).

ΣΗΜ. Ὅρα π ο λ έ ω καὶ π ω λ ῶ. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Πλάτωνι.

ὀμόργνυμι (σπογγίζω). Ποιητικὸν τὸ ῥῆμα, πεζολογικὸν δὲ Ἀττικὸν εἶναι μόνον ὁ μέσ. ἐνεστ. *ἐξομόργνυμαι* (σπαν. Πλάτ. Νόμ. 775, ε'.) καὶ μέσ. ἀόρ. *ἐξωμορξάμην* (σπαν. Πλάτ. Γοργ. 525, α'.).

ΣΗΜ. Ῥίζ. μ ε λ γ-, μ α ρ γ-, μ ε ρ γ- ἀμέλγω (ποιητ. καὶ μτγ.), ἀμέρδω (ποιητ. ἀποστερῶ, ἀφαιρῶ), ὀ-μόργ-νυμι (σπογγίζω), ὄμοργμα (μτγ.), ἀμοργμὸς (μτγ.). ἀμοργὸς (λίνον), ἀμόργινος (ὁ ἐκ λεπτοῦ λίνου χιτών), Ἀμοργός, σανσ. marg-ami=λατιν. mulg-eo (ἀμέλγω), λατιν. merg-a (δρέπανον), merg-es (χειρόβολον), mergo (καταδύω, βαπτίζω), mergus (αἴθυια). Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ.

ὁμορέω-ῶ (εἰμὶ ὅμορος, γείτων). Μεταγενέστερον τὸ ῥῆμα, παρὰ δὲ τοῖς Ἀττικοῖς πεζολόγοις ἐκφέρεται κατὰ περίφρασιν, *ὅμορός εἰμι* (Θουκ. Β', 68. 96. Γ', 95. 111. Ϛ', 6. κτλ.).

ΣΗΜ. Ὁ Naber ἀντὶ τοῦ «τ ί τ ο ὺ ς ὁ μ ο λ ο γ ο υ μ έ ν ο υ ς ἐ χ θ ρ ο ὺ ς ἔ χ ο ν τ ε ς ἑ τ έ ρ ο υ ς ζ η τ ο ῦ μ ε ν» (Δημοσθ. 14, 11) γράφει «τ ί τ ο ὺ ς ὁ μ ο ρ ο ῦ ν τ α ς ἐ χ θ ρ ο ὺ ς ἔ χ ο ν τ ε ς ἑ τ έ ρ ο υ ς ζ η τ ο ῦ μ ε ν». Ἂν δὲ ἡ διόρθωσις αὕτη εἶναι ὀρθή, τὸ ῥῆμα κατὰ πρῶτον ἀπαντᾷ παρὰ Δημοσθένει. Πλημμελὴς εἶναι ἡ παρατήρησις Θωμᾶ τοῦ Μαγίστρου ὅτι «ὅ μ ο ρ ο ς, ἐ π ὶ ο ἰ κ ί α ς ἢ χ ω ρ ί ο υ, ἄ λ λ ο θ ι δ ὲ ο ὐ κ ἐ ρ ε ῖ ς» (σελ. 649, 6)· διότι λέγεται καὶ ἐπὶ ἀνθρώπων, ὡς «ε ἰ σ ὶ δ ὲ ο ἱ Γ έ τ α ι κ α ὶ ο ἱ τ α ύ τ ῃ ὅ μ ο ρ ο ί τ ε τ ο ῖ ς Σ κ ύ θ α ι ς κ α ὶ ὁ μ ό σ κ ε υ ο ι» (Θουκ. Β', 96. κτλ.). Περὶ ῥίζης ὅρα ὁ ρ ί ζ ω.

ὁμοσκηνόω-ῶ (ὁμοῦ κατοικῶ). Πλημμελὲς καὶ βάρβαρον τὸ ῥῆμα καὶ ἀντ' αὐτοῦ γραπτέον «*ὁμοῦ σκηνῶ*» (Ξενοφ. Παιδ. Β', α', 25. Ὅρα Cobet Nov. Lect. σελ. 723), ὅπερ καὶ νῦν ἀποκατέστη.

ὁμοφρονέω-ῶ (εἰμὶ ὁμόφρων). Μόνον ὁ ἐνεστὼς (σπαν. Ξενοφ. Ἑλλ. Ζ', ε', 7). Λέγεται καὶ *ὁμογνώμων εἰμί* (Θουκ. Η', 92), *ταὐτὰ γιγνώσκω* (Θουκ. Ε', 36. Δημ. 3, 1. κτλ.) καὶ *ταὐτὰ φρονῶ* (Ἡροδ. Α', 60. κτλ.).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ, ὁμόφρων (ποιητ. καὶ μεταγ.), ὁμοφρονῶ, ὁμοφροσύνη (ποιητ καὶ μτγ.).

ὀνειδίζω (ἐλέγχω, ἐπιτιμῶ) πλειστάκ.), παρατ. *ὠνείδιζον* (σπαν. Πλάτ. Φαῖδρ. 257, γ'. Ἱππ Μ. 286, δ'. Κλειτοφ. 408, ε'.), μέλ. *ὀνειδιῶ* (σπαν. Πλάτ. Ἀπολ. 29, ε'. Ἱππ. Μ. 293, γ'.), ἀόρ. *ὠνείδισα* (ἐνίοτε), παρακ. *ὠνειδικὼς* (σπαν. Λυσί. 16, 15), ὑπερσ. ἐλλείπει. Τοῦ παθητ. μόνον ὁ ἐνεστὼς *ὀνειδίζομαι* (ἐνίοτε). Ῥημ. ἐπίθετ. *ἐπονείδιστος* (πολλάκ.), *ὀνειδιστέον* (Πλάτ. Νόμ. 689, γ'.). Λέγεται καὶ κατὰ περίφρασιν, *ὄνειδος φέρω τινὶ* (Πλάτ. Πολιτ. 590, γ'.), *εἰς ὄνειδος τίθημί τινα* (Πλάτ. Νόμ. 943, ε'.), *ὄνειδος περιάπτω τινὶ* (Πλάτ. Εὐθύδ. 272, γ'. Πολ. 495, γ'.), *εἰς ὀνείδη καθίστημί τινα* (Πλάτ. Μενέξ. 246, δ'.), ὡς παθητ. δὲ *ὄνειδος γίγνεταί μοι* (Πλάτ. Φαῖδρ. 231, ε'. πρβλ. καὶ Χαρμ. 163, β'. γ'.), *ὀνείδει ἐνέχομαι* (Πλάτ. Νόμ. 808, ε'.), *ὀνείδει συνέχομαι* (Πλάτ. Νόμ. 944, ε'.), *ὀνείδη ἔχω* (Πλάτ. Πολ. 344, β'. Νόμ. 762, γ'.), *ὀνείδη ἴσχω* (Πλάτ. Ἐπινομ. 974, ε'.).

ΣΗΜ. Ὄνειδος (μέση λέξις ἐπὶ καλοῦ καὶ κακοῦ = ὄνομα, φήμη, ἰδίᾳ δὲ ἐπὶ κακοῦ) ὄν-ο-μαι (ποιητ. ὑβρίζω, ἐκφαυλίζω), ὄνο-μα, σανσ. nama-(n) (= ὄνομα, τουρκ. ná-mi), ὀ ν ε ι δ ί ζ ω (κατὰ πρῶτον παρ' Ὁμήρῳ), ὀνειδισμός (μεταγ.), ὀνειδιστήρ (ποιητ.), ὀνειδιστής (μεταγεν.).

ὀνειροπολέω-ῶ (ἀναπλάττω τι ἀνύπαρκτον κατὰ διάνοιαν). Μόνον ὁ ἐνεστὼς (ἐνίοτε· Πλάτ. Πολ. 534, γ'. Τίμ. 52, β'. Νόμ. 904, δ'. Δημ. 4, 49), τὰ δὲ λοιπὰ μεταγενέστερα.

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ἀριστοφάνει (Ἱππ. 809. Νεφ. 16), ὀνειροπόλος (Ὁμηρ.), ὀνειροπολῶ, ὀνειροπολία (Πλάτ. Ἐπινομ. σ. 985, γ'), ὀνειροπόλημα (μτγ.). ὀνειροπόλησις (μτγ.).

ὀνειρώττω (ὀνειρεύομαι). Μόνον ὁ ἐνεστὼς (ἐνίοτε καὶ μόνον παρὰ Πλάτωνι) καὶ ὁ ἀόρ. *ὠνείρωξα* (σπαν. Πλάτ. Νόμ. 800, α'.).

ΣΗΜ. Παράγ. ὀνείρωξις (μτγ.), ὀνειρωγμός (μτγ.). Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Πλάτωνι.

ὀνεύω (σύρω τι διὰ τῆς μηχανῆς τοῦ ὄνου). Μόνον ὁ παρατατ. *ὤνευον* (σπαν. Θουκ. Ζ', 25) = ἐκίνουν καὶ περιῆγον.

ΣΗΜ. Ὁ ἐνεστὼς ὀ ν ε ύ ω (ποιητ. Κωμ. Ἀποσπ. 2, 772). Ῥίζ. ὀ σ ν-, (ὄσνος, ὄννος, ὕστερον) ὄνος, λατ. asinus, ὀ ν ε ύ ω, ὅπερ κατὰ πρῶτον παρὰ Θουκυδίδῃ. «Ὀ ν ε ύ ε ι ν τὸ π ε ρ ι ά γ ε ι ν τ ὰ μ η χ α ν ή μ α τ α, ο ἷ ς τ ο ύ ς τ ε λ ί θ ο υ ς κ α ὶ τ ὰ ἄ λ λ α ἕ λ κ ο υ σ ι ν. Ὄ ν ο ς δ' ἐ σ τ ὶ ν α ὐ τ ὸ τ ὸ μ η χ ά ν η μ α τ ὸ δ ι ὰ τ ρ ο χ ί λ ω ν κ α ὶ σχοινίων. Εἴρηται ὀ ν ε ύ ε ι ν ἤ τ ο ι ὅ τ ι κ α ὶ ὄ ν ο ι ς ἐ χ ρ ῶ ν τ ο π ρ ὸ ς τ ὴ ν π ε ρ ι α γ ω γ ή ν, ο ὐ μ ό ν ο ν ἀ ν θ ρ ώ π ο ι ς, ἢ κ α τ ὰ μ ε τ α φ ο ρ ὰ ν ὄ ν ω ν, ἐ π ε ὶ κ α ὶ ο ὗ τ ο ι ἀ χ θ ο φ ό ρ ο ι» (Βekk. Ἀνέκδ. 57, 21). Ὅρα καὶ Θωμ. Μάγιστρ. 931, 10.

ὀνίνημι (ὠφελῶ). Μόνον *ὀνίνησιν* (ἐνίοτε), ἀπαρ. *ὀνινάναι* (σπαν. Πλάτ. Πολ. 600, δ'.) καὶ μετοχ. θηλ. *ὀνινᾶσα* (σπαν. Πλάτ. Φίληβ. 58, γ'.), παρατ. ἐλλείπει καὶ ἀντ' αὐτοῦ ὁ *ὠφέλουν*, μέλλ. *ὀνήσω* (πολλάκ.) καὶ ἀόρ. *ὤνησα* (πλειστάκ.). Μέσ. *ὀνίναμαι* (ἐνίοτε· καθ' ὁριστ. καὶ ἀπαρέμφ. μόνον), παρατ. *ὠνινάμην* (σπαν. Πλάτ. Πολ. 380, β'.), εὐκτ. *ὀνίναιτο* (σπαν. Πλάτ. Φαῖδρ. 264, ε'.), μέλ. μέσ. *ὀνήσομαι* (ἐνίοτε), μέσ. ἀόρ. *ὠνήμην* (ἐνίοτε· ἄνευ ὑποτακτ., προστακτ. καὶ μετοχῆς), ἀόρ. παθ. *ὀνηθῆναι* (=ὠφεληθῆναι. σπαν. Ξενοφ. Ἀνάβ. Ε', ε', 2), τὰ δὲ λοιπὰ ἐλλείπουσιν. Ῥημ. ἐπ. *ἀνόνητος* (ἐνίοτε). Λέγεται καὶ *ὄνησιν ἔχω τινὸς* (=ὀνίναμαι. Πλάτ. Σοφ. 230, γ'., ἀλλὰ καὶ *ὄνησιν ἔχω*=ὀνίνημι. Εὐρ. Μήδ. 618).

ΣΗΜ. Ῥίζ. ὀ ν α- καὶ δι' ἀναδιπλώσεως ἐν μέσῳ τῆς ῥίζης ὀ-ν ι-ν α-, ὀ ν ί ν η μ ι, ὄνησις, ὀνήσιμος (ποιητ.), ὀνησίπολις, ὀνητέος (ποιητ.). Ῥίζ. σανσ. nand, nandajâmi (εὐφραίνω), λιθ. naud-á (ὠφέλεια) = γερμ. nutzen, γοτθ. nuit-an (γεύομαι, ὠφελῶ), ἐνταῦθα δὲ καὶ ν ή δ-υ-μ ο ς ὕ π ν ο ς (τέρπων). Τὸ δὲ ο εἶναι πρόθεμα. Τὸ ὀ ν ί ν η μ ι κατὰ

πρῶτον παρ' Ὁμήρῳ. Ὁ Nauck, οὐχὶ ὀρθῶς νομίζω, παρ' Ὁμήρῳ γράφει, ἁπανταχοῦ ἀντὶ τοῦ νήδυμος ὕπνος τὸ ἥδυμος ὕπνος (ὅρα ἡδύνω).

ὀνοβατέω-ῶ (βάλλω ὄνον εἰς ὀχείαν τῆς ἵππου). Μόνον ὁ ἐνεστ. τῆς μετοχῆς (σπαν. Ξενοφ. Ἱππικ. ε', 8. πρβλ. Πολυδ. Α', 217. Ε', 92).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Ξενοφῶντι. Ὅρα ὀνεύω

ὀνομάζω (πλειστάκ. καὶ ἐπ-, δι-, κατ-), παρατ. *ὠνόμαζον* (Αἰσχίν. 2, 38), μέλ. *ὀνομάσω* (ἐνίοτε), ἀόρ. *ὠνόμασα* (πολλάκ. καὶ ἐπ-, μετ- (1).), παρακ. *ὠνόμακα* (ἐνίοτε· καὶ ἐπ-). Παθ *ὀνομάζομαι* (ἐνιοτε· καὶ ἐπ-), παρατ. *ὠνομαζόμην* (Δημ. 18, 46. 48), παθ. ἀόρ. *ὠνομάσθην* (ἐνίοτε· καὶ ἐπ-) παθ. παρακ. *ὠνόμασμαι* (ἐνίοτε· καὶ ἐπ-, μετ-, δι-) τὰ δὲ λοιπὰ μεταγενέστερα. Ῥημ. ἐπίθ. *ὀνομαστὸς* (ἐνίοτε), *ὀνομαστέον* (Πλάτ Κρατύλ. 387, δ'.). Τὸ μέσ. ἀναλελυμ. *ὀνομάζω ἐμαυτὸν* (Δημ. 18, 104). Ἀντὶ τοῦ *ὀνομάζω* λέγεται καὶ *ὄνομα τίθεμαί τινι* (Πλατ. Φαῖδρ 244, β'. 267, δ'. Κρατύλ 384, δ'. 389, δ'. 390, δ'. 416, γ'. 417, β'. κτλ.), ἀντὶ δὲ τοῦ *ὀνομάζομαι* λέγεται *ὄνομά ἐστιν ἐμοὶ* (Πλάτ. Πρωταγ. 315, ε'. 326, δ'. Ἰσαῖ 6, 20. κτλ.), *ὄνομα ἔχω ἀπό τινος* (Πλάτ. Ἱππ. Μ. 282, α'. κτλ.), τὸ δὲ *ὄνομα ἔχω*=καὶ ὀνειδίζομαι (διότι τὸ ὄνομα εἶναι μέση λέξις. Πλάτ. Ἀπολογ. 38, γ'.).

ΣΗΜ. Ῥιζ. γνο- μετὰ προτακτ. ο, ὀγνο-, [ὄγνομα], ἐξ οὗ τὸ Ὁμηρ. οὔνομα, λατ. nomen (=gno-men), σανσ. nâma(n), τουρκ. nà-mi, ὄνομα, ὀνομάζω (λατ- nomino), ὀνομαίνω, ὀνομασία, ὀνομαστί, ὀνομαστικός. Τὸ ὀνομάζω κατὰ πρῶτον παρ' Ὁμήρῳ.

ὀνομαίνω (ὀνομάζω). Ποιητικόν, πεζολογικὸς δὲ εἶναι μόνον ὁ ἀόρ. *ὠνόμηνα* (σπαν. Ἰσαὶ 3, 34).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρ' Ὁμήρῳ εὕρηται. Ὅρα ὀνομάζω.

ὀξυλαβέ-ῶ (πράττω τι ταχέως). Μόνον ὁ ἀόρ. *ὠξυλάβησαν* (σπαν. Ξενοφ. Ἑλλ. Ζ', δ', 27).

ΣΗΜ. Τὸ ῥῆμα κατὰ πρῶτον παρὰ Ξενοφῶντι.

ὀξύνω (κάμνω τι ὀξύ). Ἁπλοῦν ποιητικὸν καὶ μεταγενέστερον, πεζολογ. δὲ Ἀττικὸν εἶναι τὸ *παροξύνω* (ἐνίοτε· καὶ συμ-), παρατ. *παρώξυνον* (σπαν. Ἰσο. 5, 3. Ἐπιστ. γ', 4. Ξεν. Παιδ. ς', β', 5), μέλ. *παροξυνῶ* (σπαν. Δημ. 2, 11. 54, 25), ἀόρ. *παρώξυνα* (ἐνίοτε). Μέσ. καὶ παθ. *παροξύνομαι* (ἐνίοτε), παρατ. *παρωξυνόμην* (σπαν. Θουκ. ς', 56 (1). Ξεν. Ἑλλ. ς', δ', 6. Δημ. 57, 49), ἀόρ *παρωξύνθην* (πολλάκ. καὶ συνήθ. ὡς μέσ., σπανίως δὲ ὡς παθ.), παρακ. *παρώξυμμαι* (ἐνίοτε), ὑπερσ. *παρώξυντο* (σπαν Δημ. 57, 49. καὶ Θουκ. ς', 56 κατὰ διόρθωσιν Cobet ἀντὶ τοῦ *παρωξύνετο*).

ΣΗΜ. Παροξύνω, παροξυσμός, παροξυντής (μτγ.), παροξυντικός, ὀξυντέος (μτγ.), παροξυντέον (μτγ.). Ὅρα ἀκέομαι. Τὸ ὀξύνω κατὰ πρῶτον παρὰ Σοφοκλεῖ, τὸ δὲ παροξύνω κατὰ πρῶτον παρ' Εὐριπίδῃ.

(1) Θουκ. ς', 4, ὅπερ ὁ Klassen γράφει «*ἀντωνόμασε*» (κακῶς νομίζω) καὶ ὁ Stahl «*αὐτὸ ὠνόμασεν*».

(1) Ὁ Cobet διορθοῖ εἰς «*παρώξυντο*».

